mo regulæ P clepsydra, quæ foramen T in fundo habeat. Itaque vas implebimus per GH tubum antequam in basim aqua infundatur, aëre per tubum XO excedente. postea canalem comprehendentes per quoddam foramen aquam in basim infundemus, quousque obstruamus osculum O, et canalem D dimittamus. manifestum igitur est vinum non fluere, propterea quod aër nulla ex parte ingredi potest. quando autem extremum regulæ R deprimemus, pars aliqua clepsydræ ex aqua extolletur, et denudata respiratione O fluet D canalis, quousque sublata in clepsydra aqua effluens ipsam O respirationem obstruat. At si rursus repleta clepsydra extremum regulæ R plusquam antea deprimatur, longiori tempore effluet sublata in clepsydra aqua, et ob id ex canali plus vini educetur. Si vero tota clepsydra extollatur, multo magis effluet. Ne igitur manu deprimamus extremum regulæ R, sit quoddam pondus V in exteriori regulæ parte RQ delatum: et quando fuerit prope R totam extollet clepsydram, quando vero remotius, minus extollet. Itaque experientia invenientes mensuras, quas volumus canalem D fluere, incisiones faciemus in regula RQ, et mensurarum de-

% ita et A in textu sed in mar. ὕδωρ.

ἐκ τοῦ π ἄκρου τοῦ κανόνος κλεψύδρα ἡ τ. τρύπημα ἔχουσα ἐν τῷ πυθμένι. τὸ μὲν οὖν ἀγγεῖον, πληρώσομεν διὰ τοῦ θη σωλῆνος, πρὶν ἐγχυθῆναι τὸ ἐν τῇ βάσει ὕδωρ. τοῦ ἀέρος ἐκχωροῦντος διὰ τοῦ ξο σωλῆνος, καταλαμβανόμενοι τὸν δ κρουνόν. εἶτα ἐμβαλοῦμεν ἐν τῇ βάσει τὸ ὕδωρ, διά τινος ὀπῆς, ἄχρις οὗ ἐπιφράξωμεν τὸ ο στόμιον, καὶ ἀφῶμεν τὸν δ κρουνόν. φανερὸν οὖν ὅτι οὐ ῥεύσει ὁ οἶνος, διὰ τὸ μηδαμόθεν ἀέρα δύνασθαι εἰσκριθῆναι. ὅταν δὲ κατάξωμεν τὸ ρ ἄκρον τοῦ κανόνος, ἐπαρθήσεται μέρος τι τῆς κλεψύδρας ἐκ τοῦ ὕδατος. καὶ γυμνωθείσης τῆς ο ἀναπνοῆς, ῥεύσει ὁ δ κρουνός, ἄχρις ἂν τὸ μετεωρισθὲν τῇ κλεψύδρᾳ ὕδωρ ἀπορεῦσαν, ἐπιφράξῃ τὴν ο ἀναπνοήν. ἐὰν δὲ πάλιν πληρωθείσης τῆς κλεψύδρας, κατάγωμεν τὸ ρ ἄκρον πλέον ἢ πρότερον, πλείονα χρόνον ἐκρεύσει τὸ ἐν τῇ κλεψύδρᾳ μετεωρισθὲν ὑγρόν. ὥστε καὶ ἐκ τοῦ κρουνοῦ πλέον ῥυήσεται. ἐὰν δὲ καὶ ὅλη ἡ κλεψύδρα μετεωρισθῇ, πολλῷ πλέον ῥυήσεται. ἵνα οὖν μὴ τῇ χειρὶ κατάγωμεν τὸ ρ ἄκρον τοῦ κανόνος, ἔσται τις λεία ἡ φ, παραφερομένη ἐν τῷ ἐκτὸς μέρει τοῦ κανόνος τῷ ρχ. καὶ ὅταν ἐγγὺς ᾖ τοῦ ρ, ὅλην ἀνάξει τὴν κλεψύδραν. ὅταν δὲ ἀπωτέρω, ἔλαττον. πείρᾳ οὖν εὑρόντες τὰ μέτρα ἃ βουλόμεθα ῥεῖν τὸν δ κρουνόν, ἐντομὰς ποιήσομεν ἐν τῷ ρχ κανόνι, καὶ ἐπιγραφὰς τῶν

ηθ Α

βό Α

ββ

τμὲν Α

ὁ Α

μέτρων, ὥστε ὁπόταν βουλώμεθα μέρος τι ἐκρεῦσαι ἐπ' ἐκείνην τὴν ἐντομὴν, παράγοντες τὴν λείαν, ἀφῶμεν ῥεῖν:~

ξε. Ῥυτοῦ κατασκευή, ὥστε ἐν ἀρχῇ μὲν κρᾶμα ῥέειν. ὅταν δὲ βουλώμεθα ἐπεγχυνομένου ὕδατος, τὸ ὕδωρ αὐτὸ καθ' αὑτὸ ἐκρέειν, καὶ πάλιν κρᾶμα:· Ἔστω ῥυτὸν τὸ αβ, διαπεφραγμένον τὸν τράχηλον, τῷ γδ. δι' οὗ σωλὴν διώσθω ὁ εζ, φέρων εἰς τὴν ἔκρυσιν. τρημάτιον ἔχων ἐντὸς τοῦ ῥυτοῦ τὸ η. διαύγιον δὲ ἔστω ἐν τῷ ῥυτῷ ὑπὸ τὸ διάφραγμα τὸ θ. ἐὰν οὖν καταλαβόμενοι τὴν ζ ἔκρυσιν, ἐγχέωμεν τὸ κρᾶμα, εἰσελεύσεται εἰς τὸ ῥυτὸν διὰ τοῦ η τρηματίου. ὅταν δὲ ἀφῶμεν τὴν ἔκρυσιν, ῥεύσει τὸ κρᾶμα, τοῦ ἀέρος ἐκπίπτοντος διὰ τοῦ θ διαυγίου. ὅταν δὲ καταλαβόμενοι τὸ θ διαύγιον, ὕδωρ καθαρὸν ἐπεγχέωμεν, τὸ μὲν κρᾶμα οὐ ῥυήσεται, διὰ τὸ μὴ ἔχειν παρείσδυσιν τὸν ἀέρα, ὕδωρ δὲ καθαρόν. ὅταν δὲ ἀνῶμεν τὸ θ, ἀμφότερα ῥυήσεται. τό, τε ὕδωρ, καὶ τὸ κρᾶμα, ὃ δὴ ἐξ ἀμφοτέρων πάλιν γίνεται κρᾶμα:~

ῥέ. κρ. A

ξϛ. Ἀγγείου ὄντος ἐπὶ βάσεως, καὶ κρουνὸν ἔχοντος ὑπεράνω τοῦ πυθμένος, καὶ ἐγχυνομένου εἰς αὐτὸ ὕδατος, ὁτὲ μὲν καθαρὸν τὸ ὕδωρ ἐκρεύσει, ὁτὲ δὲ κρᾶμα. ὁτὲ δὲ μόνον ἄκρατον:· Ἔστω ἀγγεῖον τὸ αβ ἐπὶ βάσεως, κρουνὸν ἔχον τὸν γδ. οὗ τὸ γ στόμιον, ὑ-

τὸ A

scriptiones. quare cum volumus partem aliquam effluere, ad illas incisiones pondus deducentes fluere dimittemus.

LXV.

Fluxilis constructio, ita ut in principio quidem fluat mixtum, quando autem voluerimus aqua infusa, aqua ipsa per se fluat, et rursus mixtum.

Sit fluxile AB, obstructum habens collum diaphragmate CD, per quod tubus EF impellatur in effusionem deferens, habensque parvum foramen G intra fluxile. Sit autem in fluxili sub diaphragmate spiraculum H. Quando igitur comprehendentes effusionem F mixtum infundamus, procedit in fluxile per foramen G; et quando effusionem dimittamus, fluet mixtum, aëre per spiraculum H excedente. Quando autem spiraculum H comprehendentes puram aquam infundamus, mixtum quidem non fluet, propterea quod aër non habet ingressum, sed pura aqua. et quando spiraculum dimittamus utraque fluent, et aqua, et mixtum; videlicet mixtum, quod rursus ex utrisque gignitur.

LXVI.

Si vas in basi existat, canalemque habeat supra fundum, et infusa in ipsum aqua, interdum quidem puram aquam fluere, interdum mixtum, interdum vero merum tantum.

Sit vas AB in basi, canalem habens CD, cujus osculum C sit

ἐκρέειν A

Supra fundum vasis. obstruatur autem collum diaphragmate EF, per quod tubus GH demittatur, parum excedens diaphragma in partem superiorem, et á fundo distans quantum ad aquæ fluxū sufficiat. sit etiam alter tubus KL ad ventrem vasis extra, cui vas meri subjiciatur KM. sit autem et in diaphragmate tenue foramen N. His ita constitutis si in vas aquam per collum infundamus, pars quidem, quæ est circa excessum tubi, in collo manet; pars verò, quæ supra excessum in vasis alveum defertur, quousque ad tubi osculum C perveniat, et ita pura effluet aqua. quod cum canalis fluere coeperit, quemadmodum in diabete simul attrahetur, et merum quod est in KM vase, et mixtum effluet. Cum verò aqua consumpta fuerit, solum fluet merum, præterquam quod aqua, quæ est circa diaphragma EF simul attrahetur. et cum dicta aqua per foramen N tota effluxerit, tunc aër ingrediens abrumpet continuitatem, et nihil amplius fluet.

## LXVII.

Si vas vino repletum sit, canalemque habeat, cui poculum subjiciatur, ad mensuram datam vinum in poculum influere.

Sit vas AB vinum habens, et CD canalem. osculum verò canalis, quod est ad C superficiem superiorem ita levigatam habeat,

περάνω ἔξω τοῦ πυθμένος τοῦ ἀγγείου. διαπεφράχθω δὲ τὸν τράχηλον, τῷ ε̅ζ̅ διαφράγματι. δι' οὗ καθείσθω σωλὴν ὁ η̅θ̅ μικρὸν ὑπερέχων τοῦ διαφράγματος εἰς τὸ ἄνω μέρος, ἀπέχων δὲ ἀπὸ τοῦ πυθμένος τοῦ ἀγγείου, ὅσον ὕδατι διάρρυσιν. τος Α ἔξω δὲ καὶ ἕτερος σωλὴν πρὸς τῇ γαστρὶ τοῦ ἀγγείου, ὁ κ̅λ̅ ἐκτός. ᾧ ὑποκείσθω ἀγγεῖον ἀκράτου τὸ κ̅μ̅. ἔστω δὲ καὶ ἐν τῷ ε̅ζ̅ διαφράγματι λεπτὸν τρύπημα τὸ ν̅. τούτων οὖν ὄντων, ἐὰν ἐγχέωμεν ὕδωρ εἰς τὸ ἀγγεῖον διὰ τοῦ τραχήλου, τὸ μὲν περὶ τὴν ὑπεροχὴν τοῦ σωλῆνος, ἐν τῷ τραχήλῳ μενεῖ. τὸ δὲ ὑπὲρ τοῦτον, εἰς τὸ κύτος ἐνεχθήσεται, ἄχρις ἂν ἐπὶ τὸ γ̅ στόμιον τοῦ κρουνοῦ παραγένηται, καὶ οὕτω καθαρὸν τὸ ὕδωρ ἐκρυήσεται. ἀρξαμένου δὲ ῥέειν τοῦ κρουνοῦ, καθάπερ ἐπὶ τοῦ διαβήτου, συνεπισπασθήσεται καὶ τὸν ἐν τῷ κ̅μ̅ ἀγγείῳ ἄκρατον, καὶ ἐκρυήσεται κέραμα. ὅτε δὲ δανηθῇ τὸ ὕδωρ, τότε ἄκρατος μόνος ῥυήσεται. εἰ μὴ παρ' ὅσον τὸ παρὰ τὸ ε̅ζ̅ διάφραγμα ὕδωρ συνεπισπάσεται. ὅταν δὲ διὰ τοῦ ν̅ τρυπήματος, πᾶν ἐκρεύσῃ τὸ περὶ τὸ διάφραγμα ὑδάτιον, τότε παρεισελθὼν ὁ ἀήρ, διαλύσει τὴν συνέχειαν, καὶ οὐδὲν ἔτι ῥεύσει.

δαπα Α

ξζ'.

Ἀγγείου ὄντος πλήρους οἴνου, καὶ κρουνὸν ἔχοντος, ᾧ ὑπόκειται ποτήριον, πρὸς μέτρον τὸ δοθὲν τὸν οἶνον εἰς τὸ ποτήριον ἐπιρρέειν. ἔστω τὸ ἀγγεῖον τὸ τὸν οἶνον ἔχον, τὸ α̅β̅. κρουνὸν ἔχον τὸ γ̅δ̅. τὸ δὲ πρὸς τῷ γ̅ στόμιον τοῦ κρουνοῦ, λείαν ἐχέτω τὴν ἄνω ἐπιφάνειαν.

τὸν Α

×Α γρ. ὕδωρ

Α τὸ τοῦ οἶνον ἔχον ἀγγεῖον

τοῦ. τὸ Α male.

ὥστε τυμπανίου ἐπιτεθέντος τοῦ ΕΖ, στέγειν τὸ ὕδωρ. ἔστω δὲ καὶ κανόνιον ὀρθὸν πεπηγὸς ἐπὶ τοῦ ὠτὸς τὸ ΗΘ· ἀφ' οὗ ἕτερον κηλωνευέτω τὸ ΚΛ. ἔστω δὲ καὶ ἕτερος κανὼν ὑπὸ τὴν βάσιν τοῦ ἀγγείου, ὁ ΜΝ, κηλωνευόμενος περὶ τὸ Ξ. ἕτεροι δὲ δύο κανόνες, οἱ ΚΟ ΛΠ, προσήφθωσαν ἐν περόναις κινούμενοι. ὥστε ὁπόταν χαλάσῃ τις τὸ Π ἄκρον τοῦ κανόνος, ἐπαιρομένου τοῦ ΕΖ τυμπάνου, ἀνοίγεσθαι τὸν κρουνὸν καὶ ἐκρεῖν. ἀφεθέντος δέ, πάλιν κατακλείεσθαι. ἐπικείσθω οὖν τῷ ΜΝ κανόνι ποτήριον, εἰς ὃ βουλόμεθα τὸ πρὸς μέτρον ὑγρὸν δέχεσθαι. καὶ ἔστω τὸ Ρ, ὑποκείμενον τῷ κρουνῷ. ἔστω δὲ καὶ λεία τις τὸ Σ, δυναμένη διὰ κρίκου παράγεσθαι εἰς τὴν ὑπεροχὴν τοῦ κανόνος τὴν ΜΟ. ὅταν οὖν παράξω εἰς τὸ πρὸς τὸ Μ μέρος, ἀνοιχθήσεται ὁ κρουνός, καὶ ῥεύσει εἰς τὸ ποτήριον. καὶ βαρουμένου τοῦ ποτηρίου, πάλιν ἀνανεύσει ἡ λεία καὶ ἀποκλείσει τὸν κρουνόν. ἵνα οὖν πρὸς μέτρον ἀποῤῥέῃ, ἐμβεβλήσθω εἰς τὸ ποτήριον εἰ τύχοι κοτύλη. τὸ δὲ ἐκ τοῦ κρουνοῦ ῥέον, ἐν ἄλλῳ ἀγγείῳ λαμβανέσθω. καὶ παραγέσθω ἡ λεία, ἕως οὗ πρῶτον μηκέτι ῥέῃ ὁ κρουνός. καὶ σεσημειώσθω ἐπὶ τοῦ κανόνος. καὶ ἐπιγεγράφθω κοτύλη. ὁμοίως δὲ καὶ ἡμικοτύλη, καὶ δύο κοτυλῶν, ἕως οὗ ἐὰν βουλώμεθα μέτρου, τὰ αὐτὰ ποιήσομεν, καὶ ἕξομεν τῶν μερῶν τὰ σημεῖα, καθ' ἃ δεῖ παραγομένην τὴν λείαν, τὰ

ut tympanulo imposito cohibeat aquam. Sit autem regula recta GH in aure compacta, à qua alia KL moveatur. Sit etiam alia regula MN sub basi vasis, quæ moveatur circa X. duæ præterea regulæ KO LP affigantur, circa clavos motæ, ita ut sublato tympanulo EF aperiatur canalis, humorque effluat. et rursus demisso claudatur. imponatur ergo regulæ MN poculum, in quod volumus ad mensuram humidum influere, sitque poculum R canali subjectum: et sit pondus quoddam S, quod per annulum deduci possit in regulæ excessu MO. Itaque cum pondus deduxero ad partem M, aperietur canalis, et humidum in poculum fluet. rursusque gravato poculo pondus abnuet, et claudet canalem. ut autem ad mensuram fluat, injiciatur in poculum, exempli causa, cotyle. quod autem ex canali fluit in alio vase excipiemus, et deducatur pondus quoad primum non amplius fluat canalis, et notetur in regula, inscribaturque cotyle. similiter et semicotyle, et duæ cotylæ, et quousque volumus mensuram procedere. eadem enim faciemus, et habebimus mensurarum signa, secundum quæ oportet de-

ducta pondus mensuras assignare. possumus autem pro tympanulo EF circumponere canali vas aliquod præclusum, ut separato humido ab aëre, qui in eo est, canalis non amplius fluat.

μέτρα ἀποδιδόναι. δυνατὸν δὲ ἀντὶ τοῦ ἐζ τυμπανίου περιτίθεσθαι τῷ κρουνῷ ὡς στεγνὸν ἀγγεῖον. ὥστε διασταλλομένου τοῦ ὑγροῦ ὑπὸ τοῦ ἐν αὐτῷ ἀέρος, μηκέτι ῥέειν τὸν κρουνόν :~

## LXVIII.

Vase vinum habente, canalem que et subjectum ipsi craterem, quartum quis ex cratere auferat, tantum in ipsum ex canali vinum influere.

Sit vini vas AB, canalis autem CD, habens EF tympanulum et regulas GH KL KO LM, ut in superioribus, subjiciaturque canali poculum P, et regulæ KO conjunctus sit lebetulus R, existens in vase ST, tubus autem YV simul perforetur cum vasis ST P. His ita constitutis, et vacuis existentibus vasis P ST, lebetulus R erit ad fundum ST vasis, et canalem CD aperiet. fluente autem ipso in utraque vasa ST P ascendens lebetulus rursus canalem claudet, quousque rursus auferamus ex cratere. atque hoc erit quotiescumque vinum abstulerimus.

Ἀγγείου οἶνον ἔχοντος καὶ κρουνὸν, καὶ ὑποκειμένου κρατῆρος, ὅσον ἄν τις τοῦ κρατῆρος ἀφέληται, τοσοῦτον εἰς αὐτὸν ἐπιρρέειν οἶνον ἐκ τοῦ κρουνοῦ.

Ἔστω τὸ τοῦ οἴνου ἀγγεῖον τὸ αβ. κρουνὸς δὲ, ὁ γδ. ἔχον τὸ εζ τυμπάνιον, καὶ τὰ, ηθ. κλ. κο. λμ κανόνια, ὡς καὶ ἐπάνω. ὑποκείσθω δὲ τῷ κρουνῷ, ποτήριον τὸ π. τῷ δὲ κο κανονίῳ, προσφυὲς ἔστω λεβητάριον, τὸ ρ. ἐνὸν ἐν ἀγγείῳ, τῷ στ. σωλὴν δὲ, ὁ υφ συντετρήσθω τ[ῷ] στπ ἀγγεί[ῳ] τούτων ὄντων. καὶ κενῶν ὄντων τῶν πστ ἀγγείων, τὸ ρ λεβητάριον πρὸς τῷ πυθμένι ἔσται τοῦ στ ἀγγείου, καὶ ἀνοίξει τὸν γδ κρουνόν. ῥέοντος δὲ αὐτοῦ εἰς ἀμφότερα τὰ τσπ ἀγγεῖα, προσαναβαῖνον τὸ λεβητάριον, πάλιν κλείσει τὸν κρουνὸν, ἕως οὗ πάλιν ἀφέλωμεν ἀπὸ τοῦ κρατῆρος. καὶ τοῦτο ἔσται, ὁσάκις ἂν ἀφέλωμεν :~

ἀγγείοις. A
† δὲ ὄντων κενῶν τῶν A

## LXIX.

Thesauri constructio rotam habentis æneam, versatilem, quæ ἁγνιστήριον appellatur. hanc enim ad sacra accedentes convertere soliti sunt. Itaque contingit dum rota convertitur melancoryphi vocem reddi, atque ipsam aviculam insistentem converti. conversa autem ea melancoryphum non amplius vocem emittere, neque converti.

Θησαυροῦ κατασκευὴ, τροχὸν ἔχοντος στρεφόμενον χάλκεον, ὃς καλεῖται ἁγνιστήριον. τοῦτο γὰρ εἰώθασιν οἱ εἰς τὰ ἱερὰ εἰσιόντες στρέφειν :· ἔστω οὖν τοῦ τροχοῦ στραφέντος, μελαγκορύφου γίνεσθαι φωνήν. καὶ αὐτὸ δὲ τὸ ὀρνίθιον ἐφεστὼς στρέφεσθαι. στραφέντος δὲ τοῦ τροχοῦ, μηκέτι φθέγγεσθαι τὸν μελαγκόρυφον, μήτε στρέφεσθαι. καὶ τῷ συμφωνῆς

λ A. Ἔστω θησαυρὸς μὲν, ὁ αβ γδ. ἄξων δὲ διακείμενος ἐν αὐτῷ, ρ εζ, εὐλύτως δυνάμενος στρέφεσθαι. ὃ συμ-

κόντι A (margin)
χηἶ A (margin)
ἔχον ἔχοντα A (margin)
τοῖς A (margin)
χθ. (margin)
SA (margin)

συμφυὴς ἔξω, ὁ θκ τροχός, ὃν δεῖ στρέ-
στρ.^ φειν. ἔσωθεν δὲ τῷ ἄξονι δύο τροχοὶ
συμφυεῖς ἐντὸς οἱ λ. μ. ὧν ὁ μὲν λ,
ἀκτι-^ ἐξελίκτραν ἐχέτω. ὁ δὲ μ, ἀκτινωτὸς
ἔσω. περὶ δὲ τὴν ἐξελίκτραν, σπάρ-
τος ἐπειλήσθω. ἧς ἀπὸ τοῦ ἄκρου, ἐκ-
κρεμάσθω πνιγεὺς ὁ ν, σωλῆνα ἔχων
τὸν ξο. καὶ συρίγγιον ἔχων ἐπ᾽ ἄκρου
μελαγκορυφίζον. ὑποκείσθω δὲ τῷ
cor. d. ρ. γεῖα^ πνιγεῖ, ὕδατος ἀγγεῖον τὸ πρ. καθεί-
σθω δὲ καὶ ἀξονίσκος ὁ στ, ἀπὸ τῆς
κορυφῆς τοῦ θησαυροῦ, εὐλύτως δυ-
τὸ^ νάμενος στρέφεσθαι. πρὸς μὲν τῷ σ
τὸ^ ἔχων τὸν μελαγκόρυφον. πρὸς δὲ τῷ
τὸν^ τ, ἀκτινωτὸν τυμπάνιον ἐμπεπλεγμέ-
νον τῷ μ τυμπάνῳ. συμβήσεται οὖν
ἐπιλή-^ ε ἐπιστραφέντος τοῦ θκ τροχοῦ, ἐπειλεῖ-
σθαι τὴν σπάρτον περὶ τὴν ἐξελί-
κτραν, καὶ ἀνέχειν τὸν πνιγέα, εἰς τὸ
ὕδωρ, τὸν ἦχον ἀποτελεῖν, τοῦ ἀέρος
ἐκθλιβομένου. ἅμα δὲ καὶ τὸν μελαγ-
κόρυφον ἐπιστρέφεσθαι, διὰ τῆς τῶν
τυμπάνων ἐπιστροφῆς :-

ο' λ'

Ἔνιοι ἐν τοῖς ἀγγείοις ἐμβαλ-
λόμενοι σίφωνες, ῥέουσιν ἕως ἂν ἢ
κενωθῇ τὰ ἀγγεῖα, ἢ ἡ τοῦ ὕδατος
ἐπιφάνεια γένηται κατὰ τὸ ἐκτὸς στό-
μιον τοῦ σίφωνος, δέον ἔξω ῥέοντος
ὡ^ αὐτοῦ ὅτε βουλόμεθα, μηκέτι ῥέειν:
Ἔστω τι ἀγγεῖον τὸ αβ. ἐν ᾧ σίφων
ὁ γδε. ἔχων τὸ μὲν ἐντὸς σκέλος κατα-
κεκαμμένον, ὡς τὸ γζη. ἔσω δὲ καὶ
κανόνιον ὀρθὸν πεπηγός, τὸ θκ. πρὸς
ὃ ἕτερον κηλωνευέσθω τὸ λμ. ἐξ
οὗ ἕτερον κανόνιον ἐνπερόνη κι:

Sit thesaurus ABCD, et axis in ipso dispositus EF facile versatilis. ei verò conjungatur rota HK, quam convertere oportet. Sint præterea duæ rotæ LM eidem axi intus conjunctæ, quarum L quidem exelictram habeat, M verò radiata sit. circa axelictram funis involvatur. à cujus extremo suspendatur clibanus N, tubam habens XO, et in summitate syringulam, quæ melancoryphi vocem reddat. subjiciatur autem clibano aquæ vas PR. et à vertice thesauri demittatur axiculus ST, qui facile converti possit. habeatque ad S melancoryphum, ad T verò tympanum radiatum, cujus radii radiis tympani M implicentur. contingет igitur conversa rota HK, funem circa exelictram involvi, et clibanum sustinere. at rota dimissa clibanum ob gravitatem descendens in aquam aëre expulso sonum edere. simul verò et melancoryphum converti ob conversionem tympanorum.

^ λ ἀφεθέντος δὲ τοῦ τροχοῦ τῷ βάρει, καταφερόμενον τὸν πνιγέα

## LXX.

Aliqui in vasa injecti siphones fluunt, quoad vel vasa exinanita fuerint, vel aquæ superficies extrinseco siphonis osculo respondeat. et opus sit fluente eo, cum volumus non amplius fluere.

Sit aliquod vas AB, in quo siphon CDE, habens intrinsecum crus inflexum, ut CFG. sit etiam regula recta infixa HK, ad quam alia conjungatur LM. rursus ex LM alia regula moveatur

98 in clavo, habens ad N extremitatem vas, quod possit siphonis reflexionem FG circumire. habeat autem regula LM pondus appensum ad L, ut vas circumiens siphonis reflexionem supra osculum sit, et fluat siphon. At cum volumus non amplius fluere, auferemus pondus, quod est ad L, ut vas, quod ad N deferatur, et reflexionem FG circumeat, atque ita non amplius fluat diabetes. quando autem volumus fluere, rursus pondus appendemus.

Sequitur pag. 71.

νούμενον, τὸ μὲν ἔχον πρὸς τῷ ν ἄκρῳ ἀγγεῖον, δυνάμενον περιβαίνειν τὴν ζη τοῦ σίφωνος ἀνάκαμψιν. ἐχέτω δὲ τὸ λμ κανόνιον, βάρος ἐκκρεμάμενον πρὸς τῷ λ. ὥστε τὸ περιβαῖνον ἀγγεῖον τὴν τοῦ σίφωνος ἀνάκαμψιν, ὑπεράνω εἶναι τοῦ στομίου, καὶ ῥεῖν τὸν σίφωνα. ὅτε δὲ βουλώμεθα μηκέτι ῥέειν, ἀφελοῦμεν τὸ πρὸς τῷ λ βάρος, ὥστε καταχθῆναι τὸ πρὸς τῷ ν ἀγγεῖον, καὶ περιβῆναι τὴν ζη ἀνάκαμψιν. καὶ οὕτως οὐκέτι ῥεύσει ὁ διαβήτης. ὅταν δὲ βουλώμεθα ῥέειν, πάλιν ἐκκρεμάσομεν τὸ βάρος. †

(margin: τὸ α τῷ; τῷ λ; τὸ λ)

† Hucusque codex A. τέλος τῶν τοῦ ἥρωνος πνευματικῶν γέγραπται χειρὶ ἀγγέλου βεργικίου τοῦ κρητὸς· ἔτει ,αφνα' ἐν παρησίοις.

## LXXIII.

Miliarii constructio, ut imposito animali, efformatoque in modum sufflantis, et ipsum animal sufflet in carbones: et ita miliarium ardeat. praeterea ut canali juxta collum miliarii apposito, et aperto non fluat, nisi prius frigidam infundamus in aliquem craterem. frigida autem cum calida non commisceatur, nisi descendat ad fundum, et ut ex canali frigidissima effluat.

Sit miliarii figura quam quisque elegerit. et in loco aquam excipiente aliquis locus parvus segregetur duobus diaphragmatibus rectis, ita ut undique praeclusus sit. ex quo juxta fundum tubus simul perforetur, unus existens eorum, qui carbonibus subjiciuntur: cujus altera pars obturetur, ne aqua in ipsum ingrediatur ex miliario. reliqui tubi per

Μηλιαρίου κατασκευή, ὥστε ἐπικειμένου ζωδαρίου διεσκευασμένου εἰς φυσῶντος τρόπον, αὐτὸ τὸ ζώδιον φυσᾶν εἰς τοὺς ἄνθρακας καὶ οὕτως καίεσθαι τὸ μηλιάριον, ἔτι δὲ κρουνοῦ προσκειμένου παρὰ τὸν τράχηλον τοῦ μηλιαρίου καὶ ἀνεῳγότος, μὴ ῥέειν, εἰ μὴ πρότερον ψυχρὸν ἂν ἐγχέωμεν εἴς τι κρατήριον, τὸ δὲ ψυχρὸν μὴ πρότερον συναναμίγνυσθαι τῷ θερμῷ, εἰ μὴ εἰς τὸν πυθμένα χωρήσει, ἐκ δὲ τοῦ κρουνοῦ τὸ θερμότερον ἐκρέειν. ἔστω τὸ μὲν σχῆμα τοῦ μηλιαρίου, οἷον ἄν τις προαιρεῖται, ἐν δὲ τῇ χώρᾳ τῇ τὸ ὕδωρ δεχομένῃ ἀπολαμβανέσθω τις χώρα μικρὰ δυσὶ διαφράγμασιν ὀρθίαις ὡς πάντοθεν εἶναι στεγνήν. ἐξῆς παρὰ τὸν πυθμένα σωλὴν συντετρήσθαι εἷς ὅλων ὑποκειμένων τοῖς ἄνθραξιν, οὗ τὸ ἕτερον μέρος ἀποφράχθω, ὥστε μὴ εἰσιέναι εἰς αὐτὸν ὕδωρ ἐκ τοῦ μηλιαρίου, οἱ δὲ λοιποὶ σωλῆνες

(margin notes: ἄνθρακας V.; -στῶν V.; -τατον V.; -ελλ V.; ο V.; V. εἷς ὢν τῶν)

εἰς τὴν λοιπὴν χώραν ἐν ᾗ τὸ ὕδωρ φέρουσιν, ὥστε καιομένους τοὺς ἄνθρακας διὰ μὲν τοῦ ἑνὸς σωλῆνος τοῦ εἰς τὴν μικρὰν ἔχοντος φέρειν χώραν ἀτμὸν ἐγγενᾶν. οὗτος δὲ διά τινος σωλῆνος συντετρημένου τῷ ἐπιφράγματι τοῦ μηλιαρίου φέρεται διὰ τοῦ σόματος τοῦ ζωδιαρίου εἰς τοὺς ἄνθρακας. ἐπινένευκε γὰρ τὸ ζώδιον ὥστε κάτω φυσᾶν. ἀεὶ οὖν ἀτμοῦ ἐγγενομένου, ἀεὶ καὶ φυσῇ. ὁ δὲ ἀτμὸς γεννᾶται ἐκ τοῦ πυρός. ἐὰν δὲ καὶ μικρὸν ὑδάτιον ἐγχέωμεν εἰς τὴν μικρὰν χώραν πλείονα τὸν ἀτμὸν γεννήσομεν, ὥστε ὑπὲρ μέτρον φυσᾶν τὸ ζώδιον πλεῖον ἐκθερμαίνειν τὸ μηλιάριον καθάπερ ὁρῶμεν ἐπὶ τῶν καιομένων λεβήτων ἀναφερόμενον καπνὸν ἐκ τοῦ ὕδατος. ἔσται δὲ ἀφαιρετὸν τὸ ζωδάριον διά τινος σμηρισματίου πρὸς τὸ ἐγχεῖσθαι τὸ μικρὸν ὑγρόν. ἅμα δὲ καὶ ἐὰν μὴ βουλώμεθα τὸ ζώδιον φυσᾶν εἰς τοὺς ἄνθρακας ἀποστρέφομεν αὐτὸ διὰ τοῦ σμηρίσματος εἰς τὸ ἔξω μέρος. ἔστω δὲ καὶ κρατηρίδιον ἐπικείμενον τῷ ἐπιφράγματι ἐξ οὗ σωλὴν φερέτω παρὰ τὸν πυθμένα τοῦ μηλιαρίου, ὥστε δι' αὐτοῦ τὸ ὕδωρ τὸ ψυχρὸν ἐγχυνόμενον εἰς τὸν πυθμένα χώραν. ἵνα δὲ καὶ δύνηται τὸ μηλιάριον πληροῦσθαι ἐγχυνομένου τοῦ ὕδατος καὶ ἅμα τὸ ὑπερκαχλάζον ὕδωρ μὴ ἔξω ἐκχύνηται, ἕτερον σωληνίδιον συντετρήσθω εἰς τὸ κρατηρίδιον διὰ τῆς ἐντὸς αὐτοῦ ἐπιφανεί-

-τος V. (margin)

-ει- V. (margin)

tinent ad locum, in quo est aqua, ut combusti carbones per unum tubum, qui ad parvum locum pertinet vaporem gignant. hic autem per quendam tubum simul perforatum cum miliarii operculo fertur per os animalis in carbones. etenim animal ita inclinatum est, ut deorsum sufflet. cum igitur semper gignatur vapor, et animal semper sufflat. vapor autem ex igne gignitur. Quod si paululum aqua in parvum locum infundamus, plurimum gignemus vaporem, ita ut animal præter modum sufflans plus etiam calefaciat miliarium; quemadmodum videmus in lebetibus, qui fervent, vaporem ex aqua sursum ferri. erit autem animal exemptile per quoddam smerismatium ad infundendum pusillam aquam. simul verò et si animal non amplius sufflare volumus in carbones, ipsum per smerisma avertemus in exteriorem partem. Sit etiam parvus crater operculo impositus, ex quo tubus feratur juxta fundum miliarii, ita ut aqua frigida per ipsum infusa ad fundum permeet. sed ut miliarium aqua infusa impleri possit, et simul ne superebulliens aqua extra effundatur, alius tubus perforetur cum miliarii operculo, et in craterem reflectatur per interiorem ejus superficiem, ne a-

φυσᾷ

φυσῶν

χωρεῖν

speritatem tactui præbeat. miliarii autem constructionem sub aspectum ponemus.

Exponatur cylindrus concavus, cujus sedes quidem inferior sit AB, superior vero CD: et alius cylindrus concavus circa eundem axem construatur, cujus sedes inferior EF, superior GH. ori autem cylindrorum exteriori imposita sint diaphragmata quæ possint cylindrorum concavitatem claudere, et illorum ora obstruere. Habeat autem EFGH cylindrus tubos OK LX MN, quorum LX quidem simul perforetur ex una parte, videlicet ad X: reliqui vero ex utraque parte. sintque hæc principia ex utraque parte in locum inter duos cylindros interjectum: et in eo constituantur duo diaphragmata EGFH, locum GEFH intercipientia, in quem penetret dictus tubus ex una parte perforatus. imponatur autem operculo, hoc est, ipsi GH tubulus habens parvum animal simul perforatum. perforeturque per totum animal, et inflectatur ut vergat in carbonum locum. Quod si aliquando velimus non sufflare animal, sit tubus in quo insidet, alteri coaptatus, ut cum ipsum converterimus in exteriorem partem, non amplius sufflet in locum carbonum, sed extra. ad injiciendum vero aquam in locum GEFH utilis erit nobis tubulus ipse coaptatus. nam sub-

ας, ὥστε μὴ τραχύτητα τῇ ὄψει παρέχειν. τὴν δὲ τοῦ μιλιαρίου κατασκευὴν ὑπόψιν ἐκθησόμεθα. ἐκκείσθω δὲ κύλινδρος κοῖλος οὗ ἕδρα μὲν ἡ αβ ἐφέδρα δὲ ἡ γδ. ἄλλος δέ τις κύλινδρος κοῖλος κατεσκευάσθω περὶ τὸν αὐτὸν ἄξονα τῷ προειρημένῳ, οὗ ἡ μὲν ἕδρα ἔσω ἡ εζ, ἐφέδρα δὲ ἡ ηθ. ταῖς δὲ ἴτυσι τῶν ἔξω τῶν κοίλων ἐπικείσθω ἐπιφράγματα δυνάμενα συνέχειν τὸν κύλινδρα καὶ ἐπιφράσσοντα τὰς ἴτυας. ἐχέτω δὲ ὁ εζ ηθ κύλινδρος σωλῆνας τοὺς οκ λξ μν ὧν ὁ μὲν λξ συντετρήσθω ἐκ τοῦ ἑνὸς μέρους τοῦ πρὸς τῷ ξ, οἱ δὲ λοιποὶ ἐξ ἑκατέρου μέρους διατετρήσθωσαν καὶ ἔστωσαν αὗται αἱ ἀρχαὶ ἐξ ἑκατέρου εἰς τὴν χώραν τὴν ἐν μέσῳ τῶν κυλίνδρων. κείσθω δὲ εἰς τὴν χώραν τὴν ἀπολαμβανομένην ὑπὸ τῶν δύο κυλίνδρων δύο διαφράγματα τὰ επ ζθ. ἀπολαμβάνοντα χώραν τὴν ηθ εζ εἰς ἣν τετρήσθω τὸ εἰρημένον σωληνάριον † ἔχον τὸ ζωδάριον ἐπικείμενον καὶ συντετρημένον, καὶ δι' ὅλου δὲ τὸ ζωδαρίδιον τετρήσθω καὶ ἐπικεκάμφθω πρὸς τὸ νεύειν εἰς τὴν τῶν ἀνθράκων χώραν πρὸς δὲ τὸ ὁπόταν βουλώμεθα μὴ φυσᾶν τὸ ζωδάριον ὁ σωλὴν ἐφ' ᾧ κάθηται συνεσμηρισμένος ἔσω ἑτέρῳ, ὡς ὅταν ἐπιστρέψωμεν αὐτὸν εἰς τὸ ἔξω μέρος οὐκ ἔτι φυσήσει εἰς τὸν τῶν ἀνθράκων τόπον ἀλλὰ ἐκτός. πρὸς δὲ τὸ βάλλειν ἡμᾶς ὕδωρ εἰς τὴν ηζ εθ χώραν ἔσται ἡμῖν χρήσιμον αὐτὸ τὸ σωλη-

τὴν κυλίνδρων V.

abest a V.

abest a V.

abest a V.

† τὸ ἐκ τοῦ ἑνὸς μέρους τετρημένον. ἐπικείσθω δὲ τῷ ἐπιφράγματι, τουτέστι, τῷ ηθ σωληνάριον ἔχον etc.

νάριον τὸ συνεσμηρισμένον. ἀρθέν-
τος γὰρ τοῦ ζωδίου ἐκ τοῦ σωλῆνος, ᾧ
ἐπίκειται ἐγχέομεν δι' αὐτοῦ τὸ ὑδάτιον,
πλείων γὰρ ἀτμὸς διαδοθήσεται εἰς
τὸ ζωδάριον, ἐπικείσθω δὲ τῷ ϑF ἐ-
πιφράγματι κρατὴρ ὁ ρσ συντετρη-
μένος αὐτῷ καὶ ἔχων πρὸς τὸ ἄκρον
σωλῆνα διήκοντα μέχρι τοῦ πυθμένος
τοῦ μηλιαρίου, ἀπέχοντα δὲ ἀπὸ τοῦ
πυθμένος ὅσον ὕδατι διάρρυσιν.
ὅταν οὖν βουλώμεθα προέσθαι θερμὸν
ἐμβαλοῦμεν διὰ τοῦ ρσ ψυχρὸν τὸ
δὲ διελεύσεται διὰ τοῦ σωλῆνος τοῦ
συντετρημένου εἰς τὴν χώραν τοῦ
-αβὰν v. θερμοῦ καὶ ὑπὲρ ἀνυβὰν τὸ θερμὸν
ἐκρεύσει διὰ τοῦ περὶ τὸν τράχηλον
κρουνοῦ, οὐδέπω γὰρ τὸ εἰσκριθὲν
ψυχρὸν διὰ τοῦ σωλῆνος συνεμίγη
τῷ ὑποκειμένῳ θερμῷ καὶ τοῦτο
ἀεὶ ποιοῦντες ἕξομεν θερμὸν ἀντ' ἐ-
τὸ v. πιβαλλομένου ψυχροῦ ὑπὲρ δὲ τοῦ
γινώσκειν ἡμᾶς πότε τὸ μηλιάριον
ἀναβράσει κατασκευάζεται τὸ κα-
καλασ- v. σμάτιον τετρημένον δι' ὅλου καὶ
τρηθέντος τοῦ ἐπιφράγματος ἐπικα-
θήσθω τῷ τραχήλῳ ἔχων σωλῆνα
τὸν v. μικρὸν οὗτος δὲ ἀποβλέψει εἰς τὸ
ρσ κρατῆρα ὅπως (ὥστε) παραγινομένου
τοῦ θερμοῦ ἡ πεφορὰ εἰς τὸν κρα-
τῆρα γίνηται, ἡ μὲν οὖν κατασκευ-
ὴ τοιαύτη, ἐὰν μέντοι προαιρώμε-
θα μὴ δι' ὅλου τὴν ζη ετ χώραν
-νειν v. ἀπολαμβάνον ἀλλὰ μέχρι μέρους
κατασκευάζεται τὰ διαφράγματα
-ους v. μέχρι τοῦ ἡμίσεως καὶ ἐπιτίθεται

lato animali a' tubo, in quo insidet, per ipsum aquam infundemus. plurimus enim vapor in animal irrumpet. operculo autem imponitur crater RS simul cum ipso perforatus, habensque ad extremitatem tubum usque ad fundum miliarii pertinentem, a'quo tantum distet, quantum ad aquæ fluxum satis sit. quantum igitur volumus calidam emitti, injiciemus per RS frigidam, quæ procedet per tubum permeantem in locum calidæ: et super ascendens calida per canalem, qui est circa collum effluet. Ingressa enim per tubum aqua nondum commixta est cum subjecta calida. atque hoc semper facientes calidam pro frigida injecta habebimus. sed ut cognoscamus quando miliarium ascendit, construitur hiatulus foratus per totum, et forato operculo insideat collo habens parvum tubum, hic autem aspiciet in RS craterem, ut ascendente calida, delatio in craterem fiat. Constructio igitur hujusmodi est. quod si velimus locum FEGH non occupare totum, sed partem aliquam, construentur diaphragmata usque ad dimidium. et ipsis imponitur

alind diaphragma, et accipit tubum pertinentem usque ad animal. et carbonibus ardentibus erit delatio vaporis ex parvo loco. similiter et in ipsum aquã injicietur.

## LXXIV.

Utuntur etiam alia constructione hujusmodi ad buccinandum, et merulæ vocem reddendam.

Rursus enim idem miliarium construitur habens omnes tubos, qui in sede sunt, perforatos ex utraque parte: et circa sedem sit tubus VT foemina, habens alium sibi aptatum KL pertinentem ad locum calidæ, et motum circa clavum KL. hic autem perforetur tribus foraminibus MNX. similiter et tubus VT perforetur totidem foraminibus, ipsis MNX respondentibus. ad X verò perforatur basis quædam in seipsa continens tubum coarctatum foramini X, in quo ponitur animal quemadmodum et ante dictum est: et ex MN tubi sunt penetrantes MO NP, qui suprà habent extremitates inflexas. his autem simul perforetur et coarctetur miliarii sedes superior, et per foramina penetrent alii tubi ad ipsos PO aptati, in quibus hæc insideant. in uno quidem passerculus habens interiora vacua, ut aquam suscipere possit. ipse igitur tubus, in quo in,

αὐτοῖς ἕτερον διάφραγμα, καὶ σωλῆνα λαμβάνει διήκοντα μέχρι τοῦ ζωδίου. καὶ ἐπικαιομένου ἔσται ἡ προφορὰ τῆς ἀτμίδος ἐκ τῆς μικρᾶς χώρας, ὁμοίως δὲ καὶ εἰς αὐτὴν τὸ ὕδωρ ἐμβληθήσεται:~

Χρῶνται δὲ καὶ ἑτέρᾳ κατασκευῇ τοιαύτῃ πρὸς τὸ σαλπίζειν καὶ κοσσύφου φωνὴν ἀποτελεῖν. πάλιν γὰρ τὸ αὐτὸ μηλιάριον κατασκευάζεται ἔχον πάντας τοὺς σωλῆνας τοὺς ἐν τῇ ἕδρᾳ συντετρημένους εἰς τὰ παρ' ἑκάτερα μέρη, περὶ δὲ τὴν ἕδραν ἔσω τις σωλὴν ὁ ΦΣ θῆλυς ἔχων ἕτερον συνεσμηρισμένον τὸν ΚΛ διηνοιγμένον εἰς τὴν χώραν τοῦ θερμοῦ καὶ κινούμενον περὶ τὴν περόνην τὴν ΚΛ. τοῦτο δὲ τιτρῶται εἰς τρία τρήματα κατὰ τὰ ΜΝΞ. ὁμοίως καὶ ὁ ΦΣ σωλὴν τιτρῶται εἰς τρία τρήματα κατάλληλα τῆς ΜΝΞ. καὶ πρὸς μὲν τῷ Ξ τιτρᾶται βάσις τις ἔχουσα ἐν ἑαυτῇ σωλῆνα συνεστενωμένον τῷ Ξ, ἐφ' ὃν κεῖται τὸ ζωδάριον ὁμοίως ὥσπερ καὶ ἐπάνω εἰρήκαμεν. ἐκ δὲ τοῦ ΜΝ σωλῆνος εἰσὶ διήκοντες ἡ ΜΟ ΝΠ ἔχοντες τὰ μὲν ἄνω ἄκρα κεκαμμένα, τούτοις δὲ συντετρήσθω καὶ συνεστενώσθω ἡ ἕδρα τοῦ μηλιαρίου, διὰ δὲ τῶν τρημάτων διήκωσιν ἕτεροι σωλῆνες συνεσμηρισμένοι τοῖς ΠΟ οἷς ἐπικάθηνται τὰ δὲ. ἐφ' ἑνὶ μὲν στρουθίον ἔχοντα ἐντὸς κενὰ πρὸς τὸ δύνασθαι δέξασθαι ὕδωρ. αὐτὸς οὖν ὁ σωλὴν ἐπικάθηται,

deest in V.

αὐτῷ V.

ος V.

τάδε V.

abest ἐν V.

κέκαμπται ἔχω [ων V.] φθογγάριον τῶν γινομένων πρὸς τὸ τὰς φωνὰς παριέναι καὶ ἡ ἀνακαμπὴ διήκουσα μέχρι τοῦ ὕδατος ἐν τῷ στρουθίῳ. ὅταν μὲν οὖν ἡ φωνὴ τοῦ φθογγαρίου προΐῃ εἰς τὸ ὕδωρ τότε ἦχον κοσσύφου ποιεῖ. πάλιν δὲ ὁ ἕτερος σωλὴν ἔχει καὶ αὐτὸς ἕτερον σωλῆνα συνεσμηρισμένον. ᾧ ἐπικάθηται ζῳδάριον ἐσχηματισμένον εἰς τρίτωνα, καὶ ἔχον ἐν τῷ στόματι σάλπιγγα. πάλιν δὲ αὐλὸς οὗτος ὁ σωλὴν ᾧ ἐπικάθηται ἔχει τὴν γλωσσίδα καὶ τὸν κνώδονα [κώδωνα V.] ὡς εἰώθει γίνεσθαι [γίγ. V.]. προϊοῦσα οὖν ἡ ἀτμὶς [-ν- V] καὶ συναπτοῦσα τῇ τε [τε V.] γλωσσίδι καὶ τῷ κώδωνι τὴν φωνὴν ἀποτελέσει τῆς σάλπιγγος. πείρᾳ οὖν σκεψώμεθα· πότε μὲν κατάλληλον τὸ τρῆμα τῷ ΜΟ σωλῆνι, πότε δὲ τῷ ΝΠ, πότε δὲ τῷ Ξ. ἐπὶ τῷ [abest à V.] ἐπικειμένῳ ζῳδαρίῳ καὶ ταῦτα γνόντες σημεῖά τινα ἐν αὐλοῖς παρασημειωσόμεθα, παρὰ τὴν ΚΛ πτερόνην πρὸς δὲ [ab. à V.] τὸ ὁπόταν μὲν προαιρώμεθα σαλπίζειν ὅταν δὲ πάλιν βουλώμεθα φυσᾶν αὐλὸν φυσᾶν ὁπόταν δὲ βουλώμεθα κοσσυφίζειν, τὸ δὲ τοῦ κρατῆρος καὶ τῆς τοῦ θερμοῦ ἀναβάσεως ὥσπερ δ' [καὶ V.] ἐπάνω εἰρήκαμεν οὕτως γίγνεται [θαι. V.]:~

Ζῶον τέμνεσθαί τε καὶ πίνειν. ἔστω γὰρ ἐν τῇ [τῷ V.] στόματι αὐλοῦ σωλὴν ὁ αβ. ἐν δὲ τῷ τραχήλῳ ὁ γδ διήκων δι' ἑνὸς τῶν ἔξω ποδῶν. μέσῃ δὲ ἀμφοτέρων ἄρρην κύλινδρος

sidet, inflectitur habens phthongarium ex iis, quæ fiunt ad transmittendas voces. inflexio autem usque ad aquam penetret in passerculo. Quando igitur vox phthongarii procedit in aquam, vocem merulæ reddit. Rursus alter tubus habet et ipse alium tubum sibi coaptatum, in quo insidet animal in effigiem Tritonis efformatum, et in ore buccinam tenens. Rursus autem hic ipse tubus, in quo insidet, habet lingulam et codona, ut fieri consuevit. procedens igitur vapor et lingulæ et codoni conjunctus buccinæ sonum perficit. Itaque experientia considerabimus, quando foramen respondeat MO tubo, et quando tubo NP, et quando ipsi X imposito animali. atque hæc cognoscentes signa quædam in ipsis notabimus ad clavum KL, ut quando velimus ipsum buccina canere. quando rursus velimus ipsū sufflare, sufflet. et quando velimus, merulæ vocem reddat. Quod autem attinet ad craterem, et ad aquam calidæ ascensum, quemadmodum et ante dictum est, ita fiat.

pag. 65 Sequitur.

ἔσω ὁ ξ, ᾧ προσκεκολλήσθωσαν κανόνες ὀδοντωτοὶ οἱ ηθ. καὶ τῶν μὲν η ὑπερκείσθω τυμπάνου ὀδοντωτοῦ μέρος τὸ κλ· τοῦ δὲ θ, ὑποκείσθω ὁμοίως μέρος τυμπάνου ὀδοντωτοῦ τοῦ λ. ὑπερκείσθω δὲ πάντων τὸ μὲν τροχίον ἔχον τὴν ἐντὸς ἄντυγα παχυτέραν τῆς ἐκτός, ἐκτετμήσθω κύκλοις τρισὶ τοῖς μνξ. ὥστε ἕκαστον διάστημα τῶν τὸ μ ἴσον εἶναι τῇ ἐκ τοῦ κέντρου τοῦ τυμπάνου. τοῖς δὲ κύκλοις συντετρήσθω καὶ ἡ ἄντυξ, ὥστε μηκέτι κύκλον εἶναι τὴν τοῦ τροχοῦ περιφέρειαν. διατετμημένου δὲ ἐπάνωθεν τοῦ τραχήλου τῇ οπ τομῇ, καὶ ἐντὸς τῆς τομῆς κεχωρισμένης τῆς κεφαλῆς, ἐγκεκολάφθω ἐν αὐτῇ κοιλότης περιφερής, τὰ ἐν βάθει πλατύτερα ἔχουσα τῶν ἐκτὸς μερῶν. ἵνα ἡ ὥσπερ θήλυς πελεκινοειδοῦς σωλήν, ὅπερ ἔχει δύο πλευρὰς τοῦ ἐγγραφομένου ἑξαγώνου εἰς τὸν τύμπανον. ἔσω δὲ ἡ ρσ εἰς ἣν ἐμβᾶσα πᾶσα τροχάσει ἡ μνξ ἄντυξ ὥστε πρὶν ἐκφανῆναι τὸ τέλος τοῦ ἑνὸς μέρους ἀντεισελθεῖν τὴν ἀρχὴν τοῦ δευτέρου· καὶ οὕτως τὸ τρίτον ὥστε βληθέντος τοῦ περονίου διὰ τοῦ τυμπάνου, στρέφεσθαι μὲν τὸν τροχόν, συνέλκεσθαι δὲ τὴν κεφαλὴν τῷ σώματι. ἐὰν οὖν καθῇ τις μαχαίριον διὰ τῆς οπ τομῆς, ἐμβὰν εἰς μίαν τοῦ τροχίου περιφερῆ ἐντομὴν τὸ ξ. παρακείσθω αὐτῷ τῇ οπ κοίλη κεκολαμμένη περιφέρεια

μ γρ.
κ γρ.
τομῶν γρ.
-τῶς γρ.
-τμ. γρ.
-ῆς γρ.
-οῦς γρ.
-λεί-
-κλεί γρ.

ριφερεία. καταβὰν δὲ ἐπιβήσεται τῇ
ἐξεχούσῃ κεραίᾳ τοῦ π μέρους τοῦ
τυμπάνου. ὅπερ μέρος κατατόμενον
ἐναρμόσει τοὺς ἰδίους ὀδόντας τοῖς ὀδοῦ=
ὧν ν. ς σι τοῦ π κανόνος ὅσπερ εἰς τὸ ὀπί=
σω παραγενόμενος, ἐκδόσεται τὸν αβ
σωλῆνος τὸν κύλινδρον, ὥστε διὰ τοῦ
γενομένου διαστήματος ἐκχωρῆσαν καὶ
κατελθὸν τὸ μαχαίριον ἐμπεσεῖν τῇ
ἐξεχούσῃ κεραίᾳ τοῦ π, μέρους τοῦ
τυμπάνου, τοῦτο δὲ κατατόμενον ἐ=
ναρμόζον τοὺς ὀδόντας τῷ θ ὀδόντωτῷ
-ξ- ν. ς τῷ κανόνι ἐξάγει τὸν ἄρρενα κύλιν=
δρον ἐκ τοῦ γδ. ἔστι δὲ σωλὴν μέσος
ἐναρμοζόμενος δύο σωλήνων, ὁ κύλιν=
δρος· τοῦτε ἐν τῷ σώματι τοῦ ζωδίου,
καὶ τοῦ ἐν τῷ ἀπὸ τῆς τομῆς τοῦ τρα=
χήλου διήκοντι εἰς τὸν ὀπίσω πόδα
σωλῆνος. καὶ ἁρμόσει τῷ αβ δῆλει
ῶν ν. διελθόντος δὴ τοῦ μαχαιρίου δι' ὅλου
τοῦ ν. ς τοῦ τραχήλου καὶ εζ. σωλῆνος ἐφ=
αψαμένου ἀμφοτέρων τοῦτε αβ
καὶ ν. ς καὶ τοῦ γδ εἰ προσενέγκῃ τις ὕδωρ
τῷ ζώῳ καὶ ἐπιστρέψει τὸ ὑποκεί=
μενον τῷ βουκόλῳ σημήρισμα δι' ὅ ἐπι=
στρέφοντος καταρρεύσει τὸ ἐν τῇ ἄ=
νω χώρᾳ ὑγρὸν εἰς τὴν κάτω διὰ
τοῦ γδ εζ αβ σωλῆνος τὸ πνεῦμα
τὸ ἑλκόμενον ὑπὸ τοῦ καταρρέοντος ὕ=
δατος ἐπισπάσεται τὸ προσενεχθὲν
τοι τὸ ν. τῷ σώματι ὑγρόν. νῦν μὲν τὸ σημή= μέν τοι τὸ ς. [illegible]
ρισμα κατασκευάσεται οὕτως ὥσ=
τε ἐπιστραφέντος τοῦ βουκόλου κα=
τάλληλα γίνεσθαι τὰ τρυπήματα:

Δύναται δὲ καὶ ἄλλως μὴ ὑπάρχοντος ἐπιρρύτου ὕδατος τὸ αὐτὸ γίνεσθαι οὕτως. ἔστω βάσις πάλιν στεγνὴ πάντοθεν ἡ αβγδ διάφραγμα μέσον ἔχουσα τὸ εζ ὁ δὲ ἐκ τοῦ στόματος σωλὴν φέρων εἰς τὴν βάσιν ὁ ηθκ. ἕτερος δὲ σωλὴν διά τε τῆς αδ ἐφέδρας τῆς βάσεως καὶ διὰ τοῦ εζ διαφράγματος ὁ λμν τρύπημα ἔχων ὑπὸ τὸ λεζ διάφραγμά τι τὸ ξ. ἕτερος δὲ σωλὴν συνεστηριγμένος αὐτῷ ἔστω ὁ π καὶ οὕτω τρύπημα ἔχων κατὰ τὸ ξ. κείμενον τὸ ρ ᾧ συμφυὴς ἔστω ἤτοι πᾶν ἢ ἄλλο τι ζώδιον ῥάβδον ἔχον. ὅταν μὲν οὖν ἐπεστραμμένον ᾖ τὸ ζώδιον πρὸς τὸ ζῶον, οὐ μὴ πίῃ καθάπερ ὑπὸ φόβου κωλυόμενον. ὅταν δὲ ἀποστραφῇ τότε πίεται. ἐὰν οὖν ἐμβάλωμεν εἰς τὸ αδ εζ ἀγγεῖον διά τινος τρυπήματος τοῦ φ ὕδωρ καὶ πάλιν ἐπιστεγνώσωμεν τὸ τρύπημα κηρῷ ἢ ἄλλῳ τινί, συμβήσεται καταλλήλων κειμένων τῶν ρ, ξ τρυπημάτων, τὸ ἐμβληθὲν ὕδωρ μεταχωρεῖν εἰς τὸ εβ γζ ἀγγεῖον, κενουμένου δὲ τὸ αδ εζ ἐπισπάσεται διὰ τοῦ στόματος τοῦ ζώου τὸν ἀέρα. καὶ τηνικαῦτα προσενεχθέντος αὐτῷ ποτηρίου πίεται :~

οὗτος ν.

Ἥρωνος ἀλεξανδρέως περὶ αὐτοματοποιητικῆς. Ven.

Τῆς αὐτοματοποιητικῆς πραγματείας ὑπὸ τῶν προτέρων ἀποδοχῆς ἠξιωμένης διά τε τὸ ποικίλον τῆς ἐν αὐτῇ δημιουργίας καὶ διὰ τὸ ἔκπληκτον τῆς θεωρίας, ἔστι γὰρ συνελόντι εἰπεῖν, πᾶν μέρος τῆς μηχανικῆς ἐν αὐτῇ τῇ αὐτοματοποιητικῇ παραλαμβανόμενω διὰ τῶν κατὰ μέρος ἐν αὐτῇ ἐπιτελουμένων. ἔστιν αὐτῆς ἡ ἐπαγγελία τοιάδε. κατασκευάζονται ναοὶ ἢ βωμοὶ σύμμετροι αὐτόματοί τε προσάγονται, καὶ κατά τινας ὡρισμένους ἱστάμενοι τόπους καὶ τῶν ἐνόντων αὐτοῖς ζῳδίων ἕκαστον ἰδίᾳ κινεῖται πρὸς λόγον τὸν κατὰ τὴν προκειμένην πρόθεσιν ἢ μῦθον ἁρμόζοντα καὶ εἰς τὸν ἐξ ἀρχῆς ἀποκαθίστανται τόπον. τὰ μὲν οὖν τοιαῦτα δημιουργήματα τῶν αὐτομάτων καλεῖται ὑπάγοντα. ἔστι δὲ καὶ ἕτερον εἶδος ἐν αὐτοῖς ὃ καλεῖται στατόν. ἔστι δὲ καὶ τούτου ἡ ὑπόσχεσις τοιαύτη. ἐπί τινος κιονίσκου πίναξ ἐφέστηκε θύρας ἔχων ἀνοιγομένας καὶ ἐν αὐτῷ διάθεσις ζῳδίων πρός τινα μῦθον διεκισκευασμένων. κεκλεισμένου οὖν τοῦ πίνακος αἱ θύραι αὐτόματοι ἀνοίγονται καὶ φαίνεται ἡ τῶν ζῳδίων τάξις γεγραμμένη, καὶ μετ' οὐ πολὺν χρόνον κλεισθεισῶν τῶν θυρῶν πάλιν αὐτόματος καὶ ἀνοιχθεισῶν ἑτέρα φαίνεται διάθεσις ζῳδίων ἁρμόζουσα τῇ πρότερον φανείσῃ. καὶ πάλιν κλεισθεισῶν καὶ ἀνοιχθεισῶν τῶν θυρῶν ἑτέρα διάθεσις πάλιν φαίνεται ζῳδίων ἁρμόζουσα τῇ πρότερον κειμένῃ, καὶ ἤτοι ἀπαρτίζουσα τὸν προκείμενον μῦ-

-εί-ν.
λέος ν.
-κῇ ν.
-νον ν.
-ρεύονται ν.
vadentia
f.-μάτως ν.
διασκευασμένα V.

θον ἢ πάλιν μετὰ ταύτην ἑτέρα φαίνεται ἄχρις ἂν ἀπαρτισθῇ ὁ μῦθος καὶ τῶν φαινομένων δὲ ζῳδίων τῶν γεγραμμένων ἐν τῷ πίνακι ἕκαστον ἐν κινήσει δύναται φαίνεσθαι ἐὰν ἀπαιτῇ τὸ μῦθος οἷον ἃ μὲν περιζόντα ἃ δὲ σκερπαρνίζοντα, ἃ δὲ σφύραις ἢ πελέκεσιν ἐργαζόμενα ψόφον ποιοῦντα καθ' ἑκάστην πληγὴν καθάπερ ἐπὶ τῆς ἀληθείας, δύναται δὲ καὶ ἕτεραι κινήσεις ὑπὸ τὸν πίνακα γίνεσθαι, οἷον πῦρ ἀνάπτεσθαι, ἢ ζῴδια ἐπιφαίνεσθαι πρότερον μὴ φαινόμενα καὶ πάλιν ἀφανίζεσθαι καὶ ἁπλῶς ὡς ἄν τις ἐθέλῃ δυνατόν ἐστι κινεῖν μηδενὸς προσιόντος τοῖς ζῳδίοις. ἔστι δὲ ἡ τῶν αὐτομάτων στατῶν ἐνέργεια ἀσφαλέρα τε καὶ ἀκινδυνοτέρα καὶ μᾶλλον πᾶσαν ἐπιδεχομένη διάθεσιν τῶν ὑπαγόντων. ἐκάλουν δὲ οἱ παλαιοὶ τοὺς τὰ τοιαῦτα δημιουργοῦντας θαυματουργοὺς διὰ τὸ ἔκπληκτον τῆς θεωρίας. ἐν μὲν οὖν τούτῳ τῷ βιβλίῳ περὶ τῶν ὑπαγόντων γράφομεν ἐκθέμενοι διάθεσιν ποικίλην καθ' ἅ γε ἡμᾶς ἥτις ἁρμόσει πάσῃ διαθέσει πρὸς τὸ δύνασθαι τὸν προαιρούμενον ἑτέρως διατίθεσθαι μὴ ἐνεπιζητοῦντα πρὸς τὴν τῆς διαθέσεως ἐνέργειαν, ἐν δὲ τῷ ἑξῆς καὶ περὶ τῶν στατῶν αὐτομάτων γράφομεν. δεῖ δὲ πρῶτον ἀπόκροτον εἶναι καὶ ἀκλινὲς καὶ ὁμαλὸν τὸ ἔδαφος ἐν ᾧ μέλλει τὸ αὐτόματον ὑπάγειν ἵνα μήτε οἱ τροχοὶ αὐτῶν καταδύνωσι πιεζόμενοι, μήτε ἐμποδίζοντων ὑπὸ τραχύτητός τινος μήτε πρὸς ἀνάβασιν βιαζόμενοι εἰς τὸ ὀπίσω ἐπινεύωσιν, ἐὰν δὲ μὴ ὑπάρχῃ τὸ ἔδαφος τοιοῦτον οἷον εἴρηται, δεῖ σανίδας ἀποθῶ-

ἀπαιτῇ ὁ μῦθος. Ven.

τρίζοντα, Ven.

σκεπ- V.

ἀφύρες V.

f. ἀ... ὁ αὐ

τι V.

γίν V.

Ven.

-λεστέρα τε Ven.

ἐνεπι- V.

ἑξῆς περὶ V.

μηδὲν

p. 130. v. 8

1 Ven.

αὐτοῦ V.

-ζονται V.

-ζωνται

ἀποθω- V.

σανίλας V.

f. ἀπ-οθῶ-

σανίδας ἐπὶ τοῦ ἐδάφους διατιθέναι ἐν αἷς κατὰ μῆκος ἔσονται σωλῆνες δι' ἐφήλωτων κανόνων πρὸς τὸ τοὺς τροχοὺς ἐν τοῖς σωλῆσι κυλίεσθαι. δεῖ δὲ τὰ ὑπάγοντα κατασκευάζειν ἐκ κούφων τε καὶ ξηρῶν ξύλων κἂν ἐξ ἄλλης δέ τινὸς ὕλης ὑπάρχῃ τι ἐν αὐτοῖς κατεσκευασμένον, εἰ τοῦτο δεήσει, ὡς κουφότατον πειρᾶσθαι ποιεῖν ἵνα μὴ διὰ τὸ βάρος δυσκίνητα γένηται. δεῖ δὲ καὶ ὅσα ἐν τούτῳ κλοιούσας στροφὰς ἢ κινήσεις ποιεῖσθαι ταῦτα ἔντορνά τε ἀκριβῶς καὶ περὶ ἃ κινεῖται λεῖα καὶ μὴ τραχέα ὑπάρχειν, οἷον οἱ μὲν τροχοὶ περὶ χνώδακας σιδηροῦς ἐμβεβηκότες εἰς ἐμπυελίσας σιδηρᾶς, τὰ δὲ ζώδια περὶ ἄξονας χαλκοῦς ἐμβεβηκότας εἰς χοινικίας χαλκᾶς συνεσμηρισμένας αὐτοῖς καὶ ἔλαιον† παρεπιχέειν δεήσει εἰς ταῦτα, ὅπως κατὰ πάντα τρόπον εὐκύλιστα πάντα ὑπάρχειν καὶ μηδὲν παρὰ τοῦτο σφῆγμα γένηται. εἰ δὲ μὴν οὐκ ἔσται τῶν προκειμένων κατὰ λόγον οὐδέν. δεῖ δὲ καὶ τὰς σπάρτους αἷ πρὸς ταῦτα προσχρώμεθα μήτε ἐπέκτασιν μήτε συστολὴν λαμβάνειν, ἀλλὰ τοιαύτας διαμένειν τοῖς μήκεσιν οἷαι καὶ ἐξ ἀρχῆς κατέστησαν, τοῦτο δὲ ἔσται ἐὰν λαβόντες αὐτὰς περὶ τινὰς πασσαλίσκους διατείναντες εὖ μάλα καὶ ἐάσαντες αὐτὰς ὀλίγον χρόνον πάλιν ἐπεκτείνωμεν, καὶ τοῦτο πλεονάκις ποιήσαντες κηρὸν μετὰ ῥητίνης καταψήσωμεν. βέλτιον δὲ εἰ καὶ βάρους ἐξ αὐτῶν ἐξάψαντες ἐάσομεν ἐπὶ πλείονα χρόνον προβασανισθεῖσα δὲ οὕτως οὐδεμίαν ἐπέκτασιν λήψεται ἢ παντελῶς βραχεῖαν ἢ πάλιν ἀποκόψομεν ὅταν ἐξαρτήσαντες τὸ αὐτόματον τινὰ αὐτῶν

-ίδας V.
-τὰς V.
-ξη, V.
μὴν, V.
αἷς V.
εἰς V.
α βάρος
-σαι

ἐφηλωτῶν V.
ἐν τούτοις V.
-ουσῶν V.
ἐμπυελίδας
† δὲ περιεπ. V.
οὐδὲ ἐν. V.
σωλὴν V.

παρεντεταμένον εὕρωμεν νευρίνῳ δὲ οὐδενὶ χρῆσθαι δεῖ, ἐπειδὴ παρεκτείνεσθαι καὶ συστέλλεται κατὰ τὴν τοῦ ἀέρος περίστασιν, εἰ μὴ ἄρα ὅταν δέῃ ὕσπληγγι χρήσασθαι· ὁ δὲ ὕσπληγξ ἔξω καθάπερ ἐν τοῖς καταπέλταις ὁ ἄξων κατατεταγμένος ἐν τῷ ἡμιτονίῳ ὡς ἑξῆς εὔλογον πάντα δέῃ ταῦτα τὰ ὑπάγοντα τὴν ἀρχὴν λαμβάνει τῆς κινήσεως διὰ ὕσπληγγος ἢ λείας μολιβῆς· κοινὸς δὲ ἐστὶ τοῦ κινοῦντος καὶ τοῦ κινουμένου σπάρτος ἔχουσα τὴν μὲν μίαν ἀρχὴν πρὸς τῷ κινοῦντι προσδεδεμένην ~~πρὸς~~ τὴν δὲ ἑτέραν πρὸς τῷ κινουμένῳ προσηλωμένην, τὸ δὲ κινούμενον ἄξων ἐστὶ περὶ ὃν ἡ σπάρτος περιείληπται, τῷ δὲ ἄξονι προσαρηρότες εἰσὶ τροχοὶ ὥστε τοῦ ἄξονος στρεφομένου, καὶ ἀπειλισσομένης τῆς σπάρτους συστρέφεσθαι καὶ τοὺς τροχοὺς ἐρειδόντος ἐπὶ τὸ ἔδαφος· τοῖς δὲ τροχοῖς περίκειται τὸ τοῦ ὑπάγοντος αὐτόματος πλινθίον, τάσιν δὲ ὕσπληγγος ἢ βάρος λείας δεῖ πρὸς τὰ ὅλα ἡρμόσθαι, ὅπως μὴ καταχρατῆται ἤτοι τὸ βάρος ἢ ἡ τοῦ ὕσπληγγος τάσις ὑπὸ τοῦ πλινθίου· αἱ δὲ ἐκ τῆς πορίας κινήσεις γίνονται, πασῶν τῶν σπάρτων προσηκυλωμένων μὲν τοῖς κινουμένοις ὀργάνοις, ἀποδεδεμένων δὲ εἰς τὴν λείαν. ἡ δὲ λείας ἐστὶν ἔν τινι σύριγγι ἁρμοστῶς καὶ εὐλύτως δυναμένη καταβαίνειν εἰς αὐτήν, ἐν δὲ τῷ σύριγγι ἐπὶ μὲν τῶν ὑπαγόντων ἢ κέγχρος ἢ νάπυ συμβάλλεται διὰ τὸ κοῦφά τε ἀμφότερα εἶναι καὶ ὀλισθηρά, ἐν δὲ τοῖς στατοῖς ἄμμος ξηρὰ ἐμβάλλεται ὧν ἐκρεόντων διὰ τοῦ πυθμένος τῆς σύριγγος ἡ λεία ἠρέμα καταφερομένη τὰς κινήσεις ἀποτελεῖ ἐπισπωμένη ἑ

-μην V.

-ται V.

δὲ V.

ἔσ λον. V. scribendum ἔσται δῆλον.

κινὸν V.

σπάρτου V.

δ'

-ας

αὐτομάτως V.

-ου

-ρεῖ- V.

προσηγκυλ- V.

ηλω-

δ. v. 37. V.

τῇ

ἐμβαλ- V.

aut ἑκάστας σπάρτους. quippe v. 5. ὑπὸ τῆς λ. ἑλκ. σπ.

κάστη σπάρτος· ἀρχὴ δὲ κινήσεώς ἐστι πάσης σπάρτου, κινήσεως δὲ στάσις ἀπόλυσις σπάρτου ἐκπεσούσης τῆς ἀγκύλης ἀπὸ τοῦ τύλου τοῦ ἐν τῷ κινουμένῳ ὀργάνῳ. αἱ δὲ ὑπὸ τῆς λείας ἑλκόμεναι σπάρται πᾶσαι ἰσοταχῶς μὲν ἕλκονται οὐχ ἰσοταχεῖς δὲ τὰς κινήσεις ποιοῦνται διὰ τὸ μὴ περὶ ὅμοια ὄργανα αὐτὰς περιειλεῖσθαι ἀλλὰ ἃς μὲν περὶ μείζονα κύκλους ἃς δὲ περὶ ἐλάττονας. δεῖ δὲ τῶν μὴ ἅμα κινουμένων ὀργάνων τὰς σπάρτους χαλάσματα ἔχειν, τὰ δὲ χαλάσματα μηρύματα δεῖ ποιεῖν καὶ προσκολλᾶν κηρῷ ἐντὸς τοῦ πλινθίου κατὰ τὸν ἐπιβάλλοντα τόπον, ὅπως ἡ λεία ἐπισπωμένη τὸ χάλασμα πρᾴως τείνει τὴν σπάρτον· προσέχειν δὲ δεῖ καὶ ταῖς σπάρταις ὅπως ἑκάστη αὐτῶν τῷ ἰδίῳ ὀργάνῳ προσαγκυλωθῇ καὶ μὴ ἐπ' ἀριστερὰ τὴν ἐπείλησιν λάβῃ· μιᾶς γὰρ αὐτῶν ἀλλαγείσης ἢ ἐπ' ἀριστερὰ ἐπειληθείσης τὰ ὅλα στάσιν λήψεται. δεῖ δὲ καὶ τοῖς τῶν ἀρχαίων ἐκφυγεῖν διαθέσεις, ὅπως καινότερον τὸ κατασκεύασμα φαίνηται· δυνατὸν γὰρ ὡς προείρηται ταῖς αὐταῖς μεθόδοις χρώμενον ἑτέρας καὶ ἑτέρας διαθέσεις ποιεῖσθαι, βέλτιον τούτοις ἀναστρέψει ὁ χαριεστέραν ἐπινοῶν διάθεσιν· ἣ δὲ ἡμεῖς ἐκτιθέμεθα ἐστὶ τοιαύτη· —

Βάσις μῆκος ἔχουσα ὡς πήχεως πλάτος δὲ ὡς παλαιστῶν τεττάρων ὕψος δὲ ὡς παλαιστῶν τριῶν κυμάτιον ἔχουσα περιτρέχον εἴτε τὸ ἄνω καὶ τὸ κάτω μέρος ἐπὶ δὲ τῶν γωνιῶν αὐτῆς ἐφέστηκε κιόνια τέσσαρα ὕψος μὲν ἔχοντα ὡς παλαιστῶν η πλάτος δὲ παλαιστῶν δύο ἔχοντα ὑποκείμενα σπειρία καὶ τούτοις ἁρμόζουσαν κεφαλὰς ἐπικειμένας, ἐπὶ δὲ τῶν κεφαλίων ἐπίκειται κα

Margin notes:
v
-τοι
-εῖς v.
-σῶς
-λᾶ- v.
5
-σ- v.
deest in v.
-ρίσ- v.
convenientē
ἡ v.
ο
ἀλλαγεί- v.
τὰς v.
-εις v.
v.
f. δ' ἂν
κν v.
37.
ἔστι τε
fors. τ. quia seq. δεκ. ε.
5
ἁρμόζουσας v.

ἑκάστην σπάρτον v.

βέλτιον δ' ἂν v.

Νίκη

ὥσπερ ἐπὶ στύλιον κύκλω ὕψος ἔχων ἐπιστ. ν.
ὄγδοον τοῦ κίονος ὅλου ὡς δακτύλων ε̄
κατὰ δὲ τῶν ἐπιστυλίων κατέστρωται
σανίδια καλύπτοντα τὴν ἐπάνω ἐπι-
φάνειαν καὶ περίκειται κύκλῳ κυμά-
τιον ἐπὶ δὲ τοῦ καταστρώματος ἐφέστη-
κε μέσον ναΐσκος στρογγύλος περιφα-
νὴς ἔχων κίονας ἓξ ἐπὶ δὲ τούτου πυρ-
γίον κωνοειδὲς ἐφέστηκεν ἐντεταμέ-
νην ἔχον τὴν ἐπιφάνειαν καθάπερ εἴ-
ρηται ἐπὶ δὲ τῆς κορυφῆς ἐφέστηκε
νίκη ἐκπεπεταχυίας τὰς πτέρυγας καὶ νίσκη ν.
ἐν τῇ δεξιᾷ χειρὶ στέφανον κατέχουσα,
ἐν δὲ μέσῳ (ον ν.) τοῦ ναΐσκου ζώδιον διο-
νύσου ἐφέστηκεν ἐν μὲν τῇ ἀριστερᾷ χει-
ρὶ θύρσον κατέχον ἐν δὲ τῇ δεξιᾷ σκύ- (ω ν.)
φον (ν.). παρακαθέζεται δὲ πανθηρίσκος -ος.
πρὸς τοῖς ^ διονύσου ποσὶν ἐν δὲ τοῖς ἔμ- ^τοῦ ν.
προσθεν καὶ τοῖς ὄπισθεν μέρεσι τοῦ διο-
νυσίου ἐπὶ τοῦ καταστρώματος βωμὸς -σου ν.
ἐπίκειται ἔχων ξύσματα τῶν σανίδων
τεκτονικὴ ξηρά, ὥς τε εὔκαυστα εἶναι -κά ν.
κατὰ δὲ κίονα τῶν ἐν τῷ ναΐσκῳ τοῦ
διονύσου παρέστηκεν ἐκτὸς τοῦ ναΐσκου
βάκχη διεσκευασμένη ὡς ἄν τις προ-
αιρῆται. τούτων δὲ οὕτως ὑπαρχόντων ᾳτη.
ἐν ἀρχῇ τεθέντος τοῦ αὐτομάτου ἐπί τινα
τόπον καὶ ἀποστάντων μετ' οὐ πολὺν χρό-
νον ἐπάξει τὸ αὐτόματον ἐπί τινα ὡρι-
σμένον τόπον καὶ στάντος αὐτοῦ ἀνακαυ-
θήσεται ὁ κατὰ πρόσθεν τοῦ διονύσου
βωμὸς καὶ ἐκ μὲν τοῦ θύρσου τοῦ διο-
νύσου ἤτοι γάλα ἢ ὕδωρ ἐκπιτυαθή- -πτυ- ν.
σεται ἐκ δὲ τοῦ σκύφους οἶνος ἐκχυ-
θήσεται ἐπὶ τὸν ὑποκείμενον πανθη-
ρίσκον στεφανωθήσεται δὲ πᾶς ὁ παρὰ
τοὺς τέσσαρας κίονας τῆς βάσεως τόπος
αἱ δὲ περὶ κύκλῳ βάκχαι περιελάσονται -λεύ- ν.
περὶ κύκλῳ ν.

-εύουσαι V. σονται χορεύσαι περὶ τὸν ναΐσκον καὶ ἦ-
χος ἔσται τυμπάνων καὶ κυμβάλων καὶ με-
τὰ ταῦτα σταθέντων τῶν ἤχων ἀποστρα-
φήσεται τὸ τοῦ διονύσου ζώδιον εἰς τὸ ἔ-
κτος μέρος ἅμα δὲ τούτῳ καὶ ἡ ἐπικει-
μένη τῷ πυργίῳ νίκη συνεπιστραφήσεται,
καὶ πάλιν ὁ ἔμπροσθεν γεγονὼς τῷ διονυ-
σῳ βωμὸς πρότερον δὲ ὀπίσθιος ὑπάρ-
χων ἀνακαυθήσεται καὶ πάλιν ἐκ μὲν τοῦ
absunt a Ven. θύρσου ὁ ἀναπιτυσμὸς ἔσται, ἐκ δὲ τοῦ
σκύφους ἡ ἔκχυσις καὶ πάλιν αἱ βάκχαι
-ερχό- V. χορεύσουσι περιερχόμεναι τὸν ναΐσκον με-
τὰ ψόφου τυμπάνων καὶ κυμβάλων καὶ
πάλιν σταθέντων αὐτῶν τὸ αὐτόματον ἀ-
-σή- V. ναχωρίσει εἰς τὸν ἐξαρχῆς τόπον καὶ οὕ-
τως τέλος ἕξει ἡ ἐπίδειξις. τοῖς δὲ εἰ-
ρημένοις μέτροις ἐχρησάμεθα ἀναγκαί-
θ γεννη- V. ως μειζόνων γὰρ γεγενηθέντων ὑπό-
νοιαν ἕξει τὸ θέαμα ὡς ἔντος τινὸς ταῦ-
δεῖ τα δημιουργοῦντος, διὸ δὴ ἔν τε τοῖς ὑπά-
δεῖ V. γουσι καὶ ἐν τοῖς στατοῖς αὐτομάτοις δια-
φυλάσσεσθαι τὰ μεγέθη διὰ τὴν ἐσομέ-
νην ὑπόνοιαν. τῆς οὖν διαθέσεως εἰρη-
μένης ἑξῆς τὴν κατασκευὴν τῶν κατὰ
μέρος ἐν αὐτῇ ποιησόμεθα.

Οἱ μὲν οὖν πρὸ ἡμῶν τὴν ἐπὶ μιᾶς ὁδὸν (τὴν V.)
τῆς τε πορείας καὶ τῆς εὐπορίας παρέδω-
καν ἡμῖν, καὶ ταύτην κακοπαθῆ τε καὶ
ἐπικίνδυνον. σπάνιον γὰρ ἐπιτυχεῖν
ταῖς V. καταπελευθέντα τοῖς ὑπ' αὐτῶν ἀναγε-
γραμμέναις μεθόδοις ὡς ἔστι φανερὸν
-V. τοῖς πεπειρασμένοις αὐτῶν ἡμεῖς δὲ
ἐπ' ἀληθείας πορείαν καὶ ἀποπορείαν ὑποδείξομεν ὡς ἔστι τὴν ἐπαληθείας πο-
ρίαν καὶ εὐπορίαν γίνεσθαι ἀκόπως (εὐκόπως τε V.)
τε καὶ ἀκινδύνως. ἔτι τε καὶ ὡς τὸ πλιν-
θίον ἢ τὸ ζώδιον κατὰ κύκλου τοῦ δοθέν-

ἐπ' ἀληθείας πορείαν καὶ εὐπο-
ρείαν V.

τος φέρεσθαι. οὐ μὴν ἀλλὰ καὶ ἐν παραλληλογράμμῳ ὀρθογωνίῳ τῷ δοθέντι φέρεσθαι καὶ πρότερον ὡς ἐπὶ εὐθείας ἐροῦμεν. ἔστω γὰρ τὸ πλινθίδιον τὸ αβ γδ -ον ν. ἐν ᾧ ἄξων διακείσθω ὁ εζ ἐν κνωδακίοις ἀξ- ν. στρεφόμενος ἐμβεβηκὼς εἰς πυελίδας οὔσας ἐν τοῖς τοῦ πλινθίου τοίχοις. τῷ δὲ ἄξονι συμφυεῖς ἔστωσαν δύο τροχοὶ ἴσοι οἱ ηθ κλ τῆς περιφερείας εἰργασμένοι τας ν. φακοειδεῖς, καὶ κατὰ μέσον τὸν ἄξονα ἐξελίκτρα ἡ μν καὶ αὐτὴ συμφυὴς τῷ ἄξονι περὶ ἣν ὁ σπάρτος ἐπειληθήσεται ἡ ν. ταύτῃ δὲ συμφυὴς ἔστω τύλος ὁ νξ περὶ ὃν ἡ τῆς σπάρτου ἀγκύλη περικείσεται. ἕτερος δὲ ἔστω τροχὸς κατὰ μέσην τὴν γδ πλευρὰν ὁ ρπ ἐν πήγματι πολευόμενος τῷ ρσ τυ περὶ ἄξονα τὸν φχ μικρὸν σφόδρα. οὕτως δὲ ἐνηρμόσθωσαν οἱ ἄξονες τῶν τροχῶν ὥστε τὸ πλινθίον ἀκλινὲς καθεστάναι κατὰ πᾶν μέρος. τῆς οὖν ἀγκύλης τῆς σπάρτου περιβληθείσης περὶ τὸν νξ τύλον ἐπειλείσθω ἡ ν. περὶ τὴν ἐξελίκτραν ἡ σπάρτος, καὶ σύριγγος ἐπικειμένης τετραγώνου πρὸς ὀρθὰς κατὰ μέσον τὸ πλινθίον, ἡ ἑτέρα ἀρχὴ τῆς σπάρτου διατετρημένου, ἀποδεδέσθω εἰς τὸ ἄνω μέρος τῆς σύριγγος, καὶ ἐξήφθω εἰς μολιβοῦν βάρος ἐνὸν ἐντὸς ἐν τῇ σύριγγι. οὐκοῦν ἐὰν τις ἀφῇ τὸ βάρος τι ν. ἐν τῇ σύριγγι κάτω φέρεσθαι τείνει τὴν σπάρτον, αὐτὴ δὲ ἀπειλουμένη ἀπὸ τῆς ἐξελίκτρας, ἐπιστρέψει τοὺς ηθ κλ τροχούς, οὗτοι δὲ κατὰ τοῦ ἐδάφους κυλιόμενοι ἄξουσι τὸ πλινθίον, ἄχρις ἂν μὴ ἤ ἂν ν. τοι ἡ ἀγκύλη ἐκπέσῃ ἀπὸ τοῦ τύλου ἢ τὸ βάρος ἐπικαθίσῃ τινί. ἡ μὲν οὖν πο- ἐπικα- ρεία γίνεται τὸν εἰρημένον τρόπον, ἡ δὲ ἀ- εἰ ν.

περὶ τὸν φχ ν.

ποπορεία οὕτως, ἐπειληθείσης γὰρ τῆς σπάρτου περὶ τὴν ἐξελίκτραν ἐπὶ τι μέρος περιτεθεῖσα περὶ τὸν ͞νξ τύλον τὰ ἐναντία ἐπειλείσθω τῇ πρότερον περὶ τὴν ἐξελίκτραν, εἶτα ἀποδεδόσθω ὁμοίως εἰς τὴν λείαν κρίκου συνεχομένου αὐτῇ, πάλιν οὖν καταφερομένη ἡ κλεία, ἀπειλήσει τὴν πρώτην ἐπείλησιν καὶ τὸ πλινθίον πορευθήσεται, εἶτα ἀποστᾶσα ἀπὸ τοῦ τύλου εἰς τὰ ἐναντία ἐπιστρέψει τοὺς τροχοὺς καὶ οὕτως ἔσται ἡ ἀποπειρεία τοῦ πλινθίου, ἐὰν δὲ βουλώμεθα πορευθὲν τὸ πλινθίον στῆναι ἐπί τινα χρόνον καὶ οὕτως τε ἀποπορείαν ποιήσασθαι ἐπειλήσαντες τὴν σπάρτον τε καὶ περιβαλόντες περὶ τὸν τύλον, οὐκ εὐθέως τὰ ἐναντία ἐπειλησόμεθα ἀλλὰ μηρυμάτιον ποιήσαντες καὶ προσκολλύσαντες ἐπειλήσομεν ἐπὶ τὴν ἐξελίκτραν καὶ πάλιν τὰ ἐναντία ἐπειλήσαντες ἀποδώσομεν εἰς τὴν λείαν καὶ ἔσται τὸ προκείμενον. ἐὰν δὲ καὶ πολλάκις βουλώμεθα πορεύεσθαί τε καὶ ἀποπορεύεσθαι τὸ πλινθίον, πλεονάκις καὶ τὰς ἐναλλὰξ ἐπειλήσεις ποιησόμεθα καὶ τὰ διαστήματα ἡνίκα ἂν προαιρώμεθα, καὶ τοὺς τῶν διαμενόντων χρόνους ποιήσομεν διὰ τῶν μηρυμάτων ἡλίκους ἂν προαιρώμεθα. νοείσθω δὲ καὶ κατὰ κρόταφον τοῦ πλινθίον σὺν τῇ σύριγγι ὁρώμενον καὶ ἔστω πλινθίον μὲν τὸ ͞ψω ἐξελίκτρα δὲ ἡ ͞ς σύριγξ δὲ ἡ ͞τ σπάρτος δὲ ἡ ͞αβ περιτεθχιλον δὲ περικειμένην τὴν ͞θ. λεία δὲ ἡ ͞δ ὁ δὲ ἐν αὐτῇ κρίκος ὁ ͞ε.

ἡ δὲ ἐπὶ κύκλου πορεία γίνεται τὸν δὲ τὸν τρόπον. ἔστω γὰρ κύκλος καθ᾽ οὗ φέρεσθαι δεῖ τὸ πλινθίον τὸ ͞αβγ οὗ κέντρον τὸ ͞δ καὶ διήχθω τις ἡ ͞αδ καὶ ταύτῃ ὀρθὴ ἀπὸ τοῦ ͞α ἡ ͞εαζ ἡ δὲ ͞εζ διάμετρος ἔστω ἑνὸς τῶν τριῶν τροχῶν ἡλίκου ἂν προαιρώμεθα, διχοτομίας δὲ αὐτῆς ἔστω τὸ ͞α

Marginal notes: λεία ν. — ἐπ- ν. — deest in v. — -λλη- ν. — τὸ ν. — ἡ ς ν. — -αν ν. — αζ ν. — -α ν.

καὶ ἐπεζεύχθωσαν. αἱ δὲ δξ τῷ δὲ μεγέθει τοῦ ἄξονος τῶν τροχῶν ἴση ἔσω ἡ αη καὶ τὸ εζ παράλληλος ἡ ηθκ, τὸ δὲ πλινθίον ἔσω τὸ μλ νξ παράλληλον ἔχον τὴν νξ τῇ αδ καὶ ἤχθω τῖς ἑτέρα ἡ γο καὶ ταύτη πρὸς ὀρθὰς ἡ πρ δίχα τεμνομένη ὑπὸ τοῦ ο ἔσονται δὴ αἱ τῶν τροχῶν θέσις κατὰ διαμέτρους τὰς εζ θκ πρ ἄξονες δὲ αὐτῶν οἱ τυ δχ οὕτως οὖν τετάχθωσαν οἱ τροχοὶ τῇ θέσει, ὥστε ἕως ἐπ' αὐτῶν τὸ πλινθίον ἰσορροπεῖν. οἱ ἄρα κνώδακες τῶν ἀξόνων ἔσονται πρὸς τοῖς τυσχ σημείοις, πάλιν οὖν μεταξὺ τῶν αβ ἡ ἐξελίκτρα κείσθω περὶ ἣν ἡ σπάρτος ἐπειλεῖται καὶ τὰ αὐτὰ γεγονέτω τοῖς ἔμπροσθεν εἰρημένοις, καὶ οὕτως ἐνεχθήσεται κατὰ τοῦ εἰρημένου κύκλου τὸ πλινθίον. ἐὰν γὰρ κῶνος κυλίηται κατὰ ἐπιπέδου ἡ μὲν βάσις αὐτοῦ γράψει κύκλον οὗ ἡ ἐκ τοῦ κέντρου εἰσι ἐστὶ τῇ τοῦ κώνου πλευρᾷ ἡ δὲ κορυφὴ αὐτοῦ μένει ἀκίνητος, κέντρον οὖσα τοῦ εἰρημένου κύκλου. οἱ δὲ εζ θκ πρ τροχοὶ ἐν κώνοις εἰσὶ δυσὶν ὧν βάσις μὲν ἡ εζ πρ κύκλοι, κορυφὴ δὲ τὸ δ σημεῖον, ὅτι δὲ οἱ κῶνοι οἱ ἰσοσκελεῖς κυλιόμενοι κύκλους τε γράφουσι καὶ τὴν κορυφὴν ἔχουσαν ἀκίνητον φανερόν κείμενος γὰρ ἐν τῷ ἐπιπέδῳ καὶ βεβηκὼς κατὰ τὴν ἑαυτοῦ πλευρὰν ἰσορροπός ἐστιν ἑαυτῷ. τέμνεται γὰρ ὑπὸ τοῦ διὰ τῆς πλευρᾶς ἐκβαλλομένου ἐπιπέδου, ὀρθοῦ πρὸς τὸν ὁρίζοντα, δίχα. ὅταν δὲ ἑτέρᾳ δυνάμει κατακρατηθεὶς κυλίηται ἕκαστον τῶν ἐν τῇ ἐπιφανείᾳ αὐτοῦ ἡμικυκλίων τῶν ἐπὶ τὰ αὐτὰ τῇ ἴσῃ δυνάμει κατακρατεῖ τοῦ λοιποῦ τοῦ αὐτοῦ κύκλου ἡμικυκλίου καὶ οὕτως τοῦτο κινεῖται. ἐπινοουμένων δὲ τῶν ἡμι-

κυκλίων τῶν ἄχρι τῆς κορυφῆς οὐ λείπεται πρὸς τῇ κορυφῇ, οὔτε ἡμικύκλιον οὔτε ἄλλο τι διάστατον, διὸ ἡ κινοῦσα δύναμις μηκέτι ἔχουσα τίνι καταχρατήσει ἐπὶ τὰ ἕτερα κειμένου μέρης ἀδυνατεῖ κινῆσαι τὴν κορυφὴν ἐν τῇ κατὰ τὴν ἐπιστροφὴν κινήσει εἰ μὴ ἄρα κατὰ τὸν προωσμένον ἡ ἐπικράτησις αὐτῆς γίνεται : ~ ὁρισμόν

Ὡς δὲ ἐν τῷ ὀρθογωνίῳ παραλληλογράμμῳ πορεία τοῦ πλινθίου ἔσται τὸν δὲ τὸν τρόπον. ἔστω γὰρ πλινθίον τὸ αβ γδ, ἐν ᾧ ἄξων ἔστω ὁ εζ συμφυεῖς ἔχων τροχοὺς τὸν ηθ, κλ ὁ δὲ τρίτος τροχὸς ἔστω ὁ μν δι' ὧν ἥ τε πορεία καὶ ἀποπορεία γίνεται ὡς προγέγραπται ἔστω δὲ καὶ ἕτερος ἄξων ὁ ξο συμφυεῖς ἔχων τροχοὺς τὸν πρ στ καὶ ὁμοίως τὸν υφ ἐπάνω δὲ ἔστω ὁ ξο ἄξων τοῦ εζ ἄξονος ἀπέχων ἀπὸ τοῦ εζ ἄξονος ἱκανὸν δυνάσθωσαν δὲ οἱ πρ στ τροχοὶ σὺν τῷ ξο ἄξονι, μετεωρίζεσθαι καὶ ταπεινοῦσθαι ὡς ἑξῆς ἐροῦμεν. ὁμοίως δὲ καὶ ὁ υφ τροχός. ἐὰν οὖν καταβιβάσωμεν τοὺς πρ στ υφ τροχοὺς ὥστε ἐπικαθίσαι τῷ ἐδάφει μετεωρισθήσονται οἱ ηθ κλ μν τροχοὶ ἀπὸ τοῦ ἐδάφους καὶ ποιήσεται τὴν πορείαν τὸ πλινθίον διὰ πρ στ υφ, καὶ ἀνασπασθέντος τοῦ ξο ἄξονος ὥστε πάλιν τοὺς ηθ κλ μν ἐπικαθίσαι τῷ ἐδάφει καὶ δι' αὐτῶν τὴν ἑτέραν τοῦ παραλληλογράμμου πλευρὰν πορευθῆναι τὸ πλινθίον, εἶτα πάλιν στάντος αὐτοῦ καταβιβασθήσονται οἱ πρ στ υφ καὶ πάλιν δι' αὐτοῦ τὴν ἑτέραν τοῦ παραλληλογράμμου πλευρὰν ἐνεχθήσεται τὸ πλινθίον, καὶ τούτου ἐναλλὰξ γινομένου ὁσάκις ἐὰν προαιρώμεθα ἐλεύσεται ἐπὶ τὸ παραλληλόγραμμον τὸ πλινθίον, πο-

ρείας δὲ μόνας ποιήσεται ὡς ἂν προαιρώμεθα διά τε τῶν τῆς ἀσσαρίου ἐπειλήσεως καὶ τῶν χαλασμάτων, ἵνα οὖν μὴ τὸ βάρος τῆς λείας σφοδρότερον καταφερόμενον ἐν τῇ σύριγγι ταχεῖαν ποιῆται τὴν τοῦ πλινθίου κίνησιν ἐμβαλοῦμεν ἐν τῇ σύριγγι κοῦφόν τι καὶ λεπτὸν καὶ γλίσχρον, οἷον κέγχρον ἢ νάπυ εἰς ὃ ἐπικείσεται ἡ λεία· τρυπήσομεν δὲ τὸν πυθμένα τῆς σύριγγος συμμέτρῳ τρυπήματι, ὃ κλειτρίῳ ἀνοιχθήσεταί τε καὶ κλεισθήσεται ἐκδεθὲν ἀσσαρίῳ, οὗ τὸ ἄκρον ἐκτὸς διατρυπήματος φανερὸν ἡμῖν ἔσται, ὅπως ὅταν βουλώμεθα κινεῖσθαι τὸ πλινθίον ἐπιλαμβανόμενοι τῆς ἀσσαρίου οὐ λεληθότως ἀνοίξωμεν τὸ κλειθρίον, καὶ οὕτω τῆς κέγχρου ῥεούσης ἠρέμα εἰς τὴν ὑποκειμένην βάσιν κινεῖ τὸ πλινθίον, ἵνα δὲ μὴ ἅμα τῷ ἀνοιχθῆναι τὸ κλειθρίον ὁρμὴν τὸ πλινθίον λάβῃ, ἕξει μικρὸν χαλασμάτιον ἡ ἀσσάριος ὅπως ὀλίγης κέγχρου ἐκρυείσης τότε ταθεῖσα κινήσει τὸ πλινθίον. ὡς δὲ δεῖ τοὺς τρεῖς τροχοὺς μετεωρίζεσθαι τε καὶ ταπεινοῦσθαι ἐναλλὰξ ἐπὶ (δὲ) νῦν ἐροῦμεν:~ (desunt in V.) (abest in Ven.)

ἔστωσαν οἱ εἰρημένοι τροχοὶ τρεῖς οἱ αβ γδ εζ· τῶν δὲ αβ γδ ἄξων ὁ ηθ· φανερὸν οὖν ὅτι οἱ πρὸς τοῖς ηθ κνώδακες ἐνηρμοσμένοις εἰσὶν εἴς τι ἐμπυελίδια ὄντα πρὸς τοῖς τοίχοις τοῦ πλινθίου, τὰ οὖν εἰρημένα ἐμπυλίδια ἔστω εἴς τινα κανόνια, τὰ δὲ κανόνια διὰ πελεκίνων καταβαινέτω ὀρθὰ εἰς τοὺς τοῦ πλινθίου τοίχους, ὁμοίως δὲ καὶ τὸ εζ τροχίον ἔστω ἔν τινι κανονίῳ ὀρθῷ διά τινος πελεκίνου καταβιβαζομένου εἰς τὸν πρὸς τὸ εζ τοίχους τοῦ πλινθίου. ἔστω οὖν τὸ εἰρημένον κανόνιον ηθ ἐγκοπὴ δὲ ἐν αὐτῷ ἡ λκ μν ἐν δὲ ταύτῃ τροχίον τὸ εζ ἄξονα ἔχων τὸν ξο πρὸς δὲ τῷ π

-ως V.
κέγχρον V.
-θρίῳ V.
ἧς V.
-τως V.
-τως V.
κέγχρου V.
ὁρμὴ V.
κέγχρου V.
abest a V.
εἴ τις
-λκ- V.
τῷ V.
-ον V.
ον V.

ἄκρῳ τοῦ κανονίου τύλος ἐνειλείσθω ὁ π
ἐν δὲ τῷ τοίχῳ τοῦ πλινθίου τῷ πρὸς τῷ
εζ ἐνειλείσθωσαν δύο γόμφοι καθάπερ κα-
νόνια οἱ ρσ τυ ἐν δὲ τούτοις πολευέσθω
ϛ ν. κοχλίας ὁ φχ καὶ ἐμβεβηκέτω ὁ π τύ-
λος εἰς τὴν τοῦ κοχλίου ἕλικα. ἐὰν οὖν
τις ἐπιστρέφῃ τὸν φχ κοχλίαν μετεω-
ρισθήσεται καὶ ταπεινωθήσεται τὸ ηθ κα-
νόνιον διὰ τοῦ π τύλου. ἵνα οὖν αὐτόμα-
τον τοῦτο γίνηται ἐπειλείσθω περὶ τὸ ἄρτιον
μέτρος ν. μέρος τοῦ κοχλίου ἀπάρτιος ἐναλλὰξ τὰς
-η. ν. ἐπειλείσεις ἔχουσα καὶ χαλάσματα διαμε-
-ρισ- ν. μετρημένα ἁρμοστὰ τοῖς διαστήμασιν οἷς
κινεῖται τὸ πλινθίον τὰ δὲ αὐτὰ γεγονέτω
καὶ ἐπὶ τῶν λοιπῶν δύο κανονίων ἐν οἷς
τοῖς ν. εἰσὶν οἱ πρὸς τοῦ ηθ κνώδακες δεῖ δὲ τοὺς
τρεῖς κοχλίας ἴσους τοῖς πάχεσιν εἶναι
τὰς καὶ τοῖς ἐπιλήσεσι τὰς περὶ αὐτοὺς ἀκριβῶς
ἐπει- ν. ἴσους καὶ τὰ χαλάσματα ὁμοίως ὅπως ἅ-
ἴσας ν. μα τε ἐπαίρονται οἱ τρεῖς τροχοὶ καὶ ἅμα
-ρων- ν. καθίωνται οὕτω γὰρ ἀσφαλὴς καὶ εὐκί-
νητος ἡ τοῦ πλινθίου πορεία ἔσται.
Δυνατὸν δέ ἐστι καὶ ἄλλως κάμπτειν τὸ πλιν-
θίον οὐ μόνον ἐν ὀρθογωνίῳ παραλληλο-
γράμμῳ, ἀλλὰ καὶ ἐν παντὶ εὐθυγράμ-
μῳ σχήματι, ἔτι δὲ καὶ τὴν πορείαν ὀ-
φιώδη γίνεσθαι δυνατόν ἐστι καὶ πολλῷ
εὐχερέστερον τῆς προγεγραμμένης μεθόδου.
ἔστω γὰρ τὸ πλινθίον ἐν ᾧ εἰσὶν οἱ τρο-
χοὶ τὸ αβ γδ ἐν ᾧ διακείσθωσαν ἄξο-
νες δύο οἱ εζ ηθ ὧν ὁ μὲν ηθ ἐν κνώ-
δαξιν εὐλύτως στρεφέσθω ἔχων συμφυῆ
μὴ ν. τροχὸν τὸν κλ ὁ δὲ εζ συνηραρὼς ἔ-
σω τῷ πλινθίῳ ἀπὸ τόρνου ἰσοπαχὴς
ρυτ. περὶ ἐπὶ. εἰργασμένος, περὶ δὲ τοῦτον περικει-
σθωσαν χοινικίδες δύο αἱ μν ξο εὐ-
λύτως καὶ ἁρμοστῶς περὶ αὐτὸν στρεφόμε-
ναι καὶ αὗται ἀπὸ τόρνου τὴν ἐντὸς καὶ τὴν
τειχν ν. ἐκτὸς ἐπιφανείας εἰργασμέναι. ταῖς δὲ

χοινικίσι συμφυεῖς ἔσωθεν τροχοὶ ἴσοι οἱ πρ στ. ἐὰν οὖν περὶ ἑκατέραν χοινικίδα σπάρτος περιειληθῇ, ἀποδοθῇ εἰς τὴν ἐν τῇ σύριγγι λείαν, συμβήσεται καταφερομένης τῆς λείας ἀπειλουμένων τῶν σπάρτων ἐπιστρέφεσθαι σὺν ταῖς χοινικίσι τοὺς τροχοὺς καὶ οὕτως τὸ πλινθίον ἐπ' εὐθείας πορεύεσθαι συνεπιστρεφομένου καὶ τοῦ κλ τροχοῦ. ἐὰν δὲ ἐκ τῶν πρ στ τροχῶν ὁ πρ μένῃ ἀκινήτως, χάλασμα ἐχούσης τῆς κατ' αὐτὸν σπάρτου ἐπιστραφήσεται ὁ στ τροχὸς, καὶ συνεπιστρέψει τὸν κλ ἄχρις οὗ τὸ ἐν τῇ μν χοινικίδι χάλασμα τοῦ μηρίσματος ἐπισπάσεται ἡ λεία, εἶτα πάλιν τάσιν λαβούσης τῆς σπάρτου ἅμα οἱ πρ στ τροχοὶ στραφήσονται καὶ ἐνεχθήσεται τὸ πλινθίον, ἐπ' εὐθείας τῆς κατὰ τὴν ἐπιστροφὴν τοῦ πλινθίου γενηθείσης. δεήσει οὖν τὸ εἰρημένον χάλασμα τοσοῦτον εἶναι, ὥστε ἐπιστραφῆναι τὸ πλινθίον κατὰ τὴν εὐθείαν ἣν βουλώμεθα αὐτὸ ἐνεχθῆναι. τὰ δ' αὐτὰ ἐπινοείσθω καὶ ἐπὶ τοῦ στ τροχοῦ. πλειόνων οὖν ἐπιλήσεων καὶ μηρυσμάτων γινομένων, ἀκολούθως ταῖς εἰρημέναις εὐθείαις καθ' ἃς δεῖ φέρεσθαι τὸ πλινθίον, ἔσται γεγονὸς τὸ προκείμενον. δεήσει δὲ τά τε μήκη τῶν ἐπιλήσεων καὶ τὰ τῶν μηρυμάτ(ων) ἐξ αὐτῆς τῆς πείρας γίνεσθαι, ἀρχομένων ἡμῶν τὰς ἐπειλήσεις ποιεῖσθαι ἀπὸ τοῦ τόπου ἐφ' οὗ μέλλει καταλήγειν τὸ πλινθίον. ἀνάπαλιν γὰρ αὐτὸ κινοῦντες ταῖς χερσὶν ὡς μέλλει πορεύεσθαι ἐπειλήσομεν τὰς σπάρτους καὶ χάλασμα δώσομεν. οὕτω γὰρ ἀρξάμενον πορεύεσθαι τὸ πλινθίον καταλήξει δεόντως εἰς τὸν τόπον ὅθεν ἠρξάμεθα ἐπειλεῖν τοὺς σπάρτους. βέλτιον δὲ καὶ τὸν κλ τροχὸν ἐν χοινικίδι περικεῖσθαι τῷ ηθ ἄξονι, τὸν δὲ ἄξονα

συμφυῆ

συμφυῆ ὁμοίως τῷ πλινθίῳ γίνεσθαι
περὶ καθάπερ καὶ τὸν ἕξ· καὶ πάλιν τὴν χοι=
νικίδα τοῦ πλ τροχοῦ τὴν σωλῆνα ἐ=
πειληφυῖαν καὶ τὰ χαλάσματα ἐχούσας
τῇ λεῖα ἀποδοθῆναι ὅπως ὅταν βου=
λώμεθα κάμπτειν τὸ πλινθίον ἕνα τῶν
πρ στ τροχῶν ἑστάναι δηλονότι χα=
λάσματος ὄντος ἐν τῇ κατ' αὐτὸν σωλῆ=
τῶν τι τῇ περὶ τὴν χοινικίδα τὸν δὲ πλ
-ῶν V. τροχὸν μετὰ τοῦ λοιποῦ στρέφεσθαι τρο=
χοῦ ἄχρις ἂν τὸ πλινθίον τὴν δέουσαν
λάβῃ ἐπιστροφήν εἶτα πάλιν ταθείσης
τῆς τὸ χάλασμα ἐχούσης σωλῆνος, ἅμα
τῶν τριῶν κινουμένων τροχῶν τὴν ἐπ'
εὐθείας ὁδὸν φέρηται τὸ πλινθίον, ἐπεὶ
οὖν αἱ χοινικίδες αἱ τοὺς τροχοὺς ἔχου=
σαι περικείμεναι τοῖς ἄξοσιν ἐν τῇ κι=
νήσει δυσχερῶς ἐπιστρέφονται διὰ τὸ
ὅλον τοῦ πλινθίου βάρος ἐπ' αὐτὰς ἐπι=
ἀρέ- V. κεῖσθαι ἀρκέσει ἐν τοῖς αὐτομάτοις πάν=
τα τὰ ἐγκυκλίως κινούμενα περὶ κνώ=
δακας στρέφεσθαι. ποιήσομεν οὖν οὕτω.
γενέσθω γὰρ τὸ πλινθίον καθ' ὃν τρόπον,
ὁ τοὺς δύο τροχοὺς ἔχων ἄξων ὄρθιον
-ὡς διάπηγμα ἀραρὸς ἐν δὲ τούτῳ ἐμπυ=
-δι V. ελίδια ἔσω ἐξ ἑκατέρου μέρους εἰς ἃ
οἱ κνώδακες, ἐμβιβασθήσονται. δύο δὲ
ἄξονες γεγονέτωσαν συμφυεῖς ἔχοντες
τοὺς τροχοὺς ὧν ἑκάτερος κείσθω με=
ταξὺ τοῦ εἰρημένου ὀρθίου διαπήγμα=
τος καὶ τῶν τοῦ πλινθίου τοιχῶν ἐν κνώ=
δαξιν, ὥστε βεβηκέναι ἐπὶ τοῦ ἐδά=
φους τοὺς τροχοὺς καὶ ἕκαστον στρέφεσθαι
ἐν τοῖς ἑαυτοῦ κνώδαξιν αἱ δὲ περὶ
τοὺς ἄξονας σωλῆνες διπλαῖ ἔστωσαν
ὥστε μέσον λαβεῖν τὸν τροχὸν καὶ ἐξ=
ἴσου στρέφειν. γεγονέτω δὲ καὶ ἕτερος
deest in V. τρίτος ἄξων τούτοις ὁμοίως κινούμενος
ἔμπροσθεν τοῦ πλινθίου ὥστε πάλιν ἐ=
πὶ τῶν τριῶν τροχῶν φέρεσθαι τὸ πλιν=

θίον καὶ περὶ τούτων ὁμοίως διπλῆ περικείσθω σπάρτος μεσολαβοῦσα τὸν τροχόν, πάλιν οὖν τῶν σπάρτων ἐπειληθεισῶν ἐναλλὰξ ὁσάκις ἐὰν βουλώμεθα καὶ τὰ χαλάσματα ἐχουσῶν ὡς ἐὰν προαιρώμεθα διαμεμετρημένα ὡς εἴρηται καὶ ἡ τοῦ πλινθίου πορεία ἔσται ὡς ἐὰν προαιρώμεθα εὐκόπως τε καὶ εὐκηλίσθως δι' αὐτοὺς κνώδακας:—

Περὶ μὲν οὖν τῶν τῆς πορείας, καὶ τῆς ἀποπορείας τοῦ πλινθίου αὐτάρκως νομίζομεν εἰρηκέναι, ἑξῆς δὲ περὶ τῶν ἐκτὸς τῆς πορείας κινήσεων ἐροῦμεν, ἔστι δὲ ἡμῖν ἡ πρώτη κίνησις περὶ τῆς τοῦ πυρὸς ἀνακαύσεως τοῦ ἐν τῷ βωμῷ. γίνεται οὖν οὕτως· ἔστω γὰρ βωμὸς ἐκ λεπίδων χαλκῶν ἢ σιδηρῶν πεποιημένος ὁ αβγδ τρύπημα ἔχων ἐν μέσῳ τῷ ἐπιπύρῳ τὸ ε ὑπὸ δὲ τοῦτο λεπίδιον ἔστω τὸ ζη παρακλον ὥσπερ γλωσσοκόμου πῶμα ἐπικαλύπτον τὸ ε τρύπημα, ἐκ δὲ τούτου ἁλυσείδιον τὸ ηθκ ἀποδεδομένων περὶ ἀξόνιον ἐντὸς τοῦ βωμοῦ κείμενον καὶ εὐλύτως στρεφόμενον. ἐν δὲ τῷ ἀξονίῳ ἀποδεδέσθω εἰς τὴν λείαν σπάρτος, αὐτὴ δὲ μετὰ τὴν πορείαν σταθεῖσα ὑπὸ τῆς λείας ἐπιστρέψει τὸ ἀξόνιον καὶ παραλλάξει τὸ λεπίδιον καὶ τῆς ἀγκύλης ἐκπεσούσης ἀπὸ τοῦ τύλου τὰ ἑξῆς ἐπιτελεσθήσεται, ὑποκείσθω δὲ τῷ ε τρυπήματι λαμπτὴρ ὁ μν τὴν φλόγα ἔχων ὑποκειμένην τῷ τρυπήματι, ἐπικείσθω δὲ ὡς προείρηται ἐν τῷ βωμῷ ὕλη δυναμένη εὐκόπως ἀνάπτεσθαι, μᾶλλον δὲ τῶν ἄλλων ποιεῖ τὰ τεκτονικὰ ξύσματα ὅταν οὖν πορευόμενον τὸ πλινθίον στῇ, τότε ἡ ἐκ τοῦ ηθκ ἁλύσει δι' οὗ σπάρτος ταθεῖσα ἐπισπάσεται τὸ ζη λεπίδιον, ὥστε ἀνοιχθῆναι τὴν ὀπὴν καὶ τὴν φλόγα ἄνω ἐνεχθεῖσαν ἀνακαῦσαι τὸν βωμόν, τὰ δ' αὐτὰ ἐπι-

εὐκυλύστως V.
διὰ τοὺς κνώ- V.
τῶν deest in V.
-νον V.
αὕτη V.
ταθ- V.
καὶ V.
ἀλυσειδίου V.
-σαν V.

νοείσθω κ(αὶ) ἐπὶ τοῦ ἑτέρου βωμοῦ, μό-
ον. νον ὅτι τὸ τῆς σπάρτου χάλασμα μεῖ-
ζον εἶναι δεῖ τοῦ νῦν εἰρημένου ὅπως
κατὰ τὰς ἑξῆς κινήσεις ταθεῖσα ἡ σπάρ-
τος τὴν ἑτέραν ἔξαψιν ποιήσεται:
Μετὰ δὲ τὴν θυσίαν δεῖ ἐκ μὲν τοῦ θύρ-
σου γάλα ἀναπιτυσθῆναι, ἐκ δὲ τοῦ
δὲ ν. σκύφους οἶνον. γίνεται οὖν κ(αὶ) τοῦτο οὕ-
τως· ὑπὸ τοὺς πόδας τοῦ διονύσου συμ-
φυὴς γίνεται σωλὴν ἔχων τρυπήματα
-ὺς ἐν τῇ ἐπιφανείᾳ ἐγγὺς ἀλλήλων δύο·
-ται ν. ἐκ δὲ τούτων σωληνάρια ἀνατείνοντα
εἰς τὸ ἐντὸς μέρος τοῦ διονύσου φέροντα
τὸν ν. τὸ μὲν εἰς τὸν θύρσον, τὸ δὲ εἰς τὸν σκύ-
τὸν ν. φον: ἔσω δὲ ἡ μὲν βάσις τοῦ διονύ-
τούτῳ ν. σου ἡ αβ, ὁ δὲ συμφυὴς τούτῳ σωλὴν
ὁ γδ, τὰ δὲ ἐν αὐτῷ τρυπήματα τὰ εζ,
Ven. de. τὰ δὲ ἐκ τούτων ἀνατείνοντα σωληνάρια
τὸν ν. τὰ ζη εθ, τὸ μὲν ζη, εἰς τὸν θύρσον, τὸ
τὸ ν. δὲ εθ εἰς τὸν σκύφον, ἔσω δὲ κ(αὶ) ὁ ἐ-
de. in ν. πικείμενος πυρὰν τῷ ναΐσκῳ, ὁ κλμ
ν. κ- ἐντὸς δὲ τούτου ἀγγεῖον ἔσω τὸ νξ μέ-
σον διάφραγμα ἔχον τὸ ο κ(αὶ) ἐκ μὲν
τοῦ νο ἀγγείου φερέτω σωλὴν ὁ πρστ
εἴς τινα ἕτερον σωλῆνα τὸν υφ συν-
εσμηρισμένον τῷ γδ σωλῆνι, συμφυῆ
δὲ ὄντα ἐκ τῶν ὑποκάτω μερῶν τῷ κα-
ταστρώματι ἐφ' ὃ ὁ ναΐσκος ἐπίκειται·
τὸ δὲ τ τρύπημα κείσθω κατὰ τὸ ε, ἐκ
δὲ τοῦ ξο ἀγγείου ἕτερος σωλὴν ὁ
χψως κ(αὶ) φέρων ὁμοίως εἰς τὸν υφ
σωλῆνα, τὸ δὲ ς τρύπημα κείσθω κα-
τὰ τὸ ζ. οὐκοῦν ἐάν τις ἐν μὲν τῷ ον
ἀγγειδίῳ οἶνον ἐγχέῃ, ἐν δὲ τῷ ξο
γάλα. κειμένων τῶν εζ τρυπημάτων
κατὰ τὰ τς ἐνεχθήσεται ὁ μὲν οἶνος
εἰς τὸν σκύφον, τὸ δὲ γάλα εἰς τὸν θύρ-
σον. ἵνα οὖν στέγῃ τὰ ὑγρὰ τὸν πρό-
ϙς τ ν. τερον χρόνον κλεὶς, ἔσω ἡ ϙτ. ἀπο-

κλείουσα ὡς εἴρηται τὰ ὑγρὰ δι' ἐπιτονίου τοῦ α̅ περὶ ὃ ἀγκύλη σπάρτος περιβεβλήσθω χαλαστὴ ἔχουσα καὶ ἀποδεδομένη εἰς τὴν λείαν· ὅπως κατὰ τὸν δέοντα καιρὸν ταθεῖσα ἐπιστρέψῃ τὸ ἐπιτόνιον καὶ ἐνεχθῇ τὰ ὑγρά. πάλιν δὲ ἐπιστραφέντος τοῦ διονύσου, καὶ τοῦ ἑτέρου βωμοῦ ἀνακαυθέντος δεῖ πάλιν ῥεῦσαι τόν τε οἶνον καὶ τὸ γάλα. στρέφεσθαι δὲ οὕτως, ἡμικυκλίου περιφέρεια γεγονέτω κατὰ διάμετρον τοῖς τ̅ ς̅ τρήμασιν ἕτερα τρήματα τὰ β̅ γ̅. καὶ ἐκ μὲν τοῦ β̅ φερέτω σωλὴν εἰς τὸν ρ̅σ̅ ὁ β̅ δ̅, ἐκ δὲ τοῦ γ̅ ἕτερος σωλὴν εἰς τὸν ψ̅ω̅ ὁ γ̅ ξ̅, ὅταν ἄρα ἐπιστραφέντος τοῦ διονύσου γένηται τὰ ἐξ τρυπήματα κατὰ τὰ β̅ γ̅, καὶ πάλιν ἀνοιχθήσεται ἡ ς̅τ̅ κλεὶς καὶ ῥεύσει ὁμοίως ὅ,τε οἶνος καὶ τὸ γάλα ἀνοίγεται δὲ ἡ κλεὶς ἑτέρας σπάρτου ἐπισπασαμένης τὸ ἐπιτόνιον εἰς τὰ ἕτερα βάρη δεῖ δὲ τοὺς ρ̅σ̅ ψ̅ω̅ σωλῆνας δι' ἑνὸς κιονίσκου τοῦ ἐντὸς ναΐσκου κοίλου ὄντος ἐνεχθῆναι ὑπὸ τὴν βάσιν τοῦ ναΐσκου, ὅπως ἀφανεῖς ὑπάρχωσιν. ἐπιστρέφεσθαι δὲ ὁ διόνυσος σὺν τῇ ἐπικειμένῃ νίκῃ τῷ πυρῆνι, οὕτως καθείσθω ἄξων συμφυὴς ὢν τῇ νίκῃ διὰ τοῦ πυρῆνος, ὁ γ̅ λ̅. εὐλύτως στρεφόμενος περὶ κνώδακα τὸν λ̅. καὶ περὶ αὐτὸν περιειλεῖσα διὰ τροχίλου τοῦ π̅ ἀποδεδόσθω εἰς τὴν βάσιν τοῦ ναΐσκου διὰ τροχίλου τοῦ θ̅ εἰς τὸ ὑπερέχον τοῦ γ̅δ̅ σωλῆνος. οὐκ οὖν ἐὰν ἐπιστρέφῃ τις τὸν γ̅δ̅ σωλῆνα ἀπειλείσει τὴν περὶ τὸν ξ̅ λ̅ ἄξονα σπάρτον καὶ ἅμα ἐπιστρέψει τὴν νίκην καὶ τὸν διόνυσον, ἐπὶ τὰ αὐτὰ δὲ ἔξω μέρη ἡ ἐπιστροφὴ αὐτῶν καὶ ἴσος δὲ ἔξω κατὰ τὸ πάχος ὁ γ̅ λ̅ ἄξων τῷ

τῶν ν.

ᾳ ν.
-η- ν.
-ῆ ν.
γεγ- αθω
βλ ν.
τῆς ν.
γεν ν.
ἐντὸς
-ι- ν.
-λη- θεῖσα ν.
ἡ ν.
deest in ν.
ς ν.

τὸ σωλήνι ὅπως ἅμα ἀποκαλασθῶ-
σιν v. σαν, ἥτε νίκη καὶ ὁ διόνυσος μηδὲν
παραλλάσσοντες κατὰ τὴν θέσιν. ἵνα τοῦ
ει v αὐτόματον τοῦτο γίνηται ἐπειλήφθω ἑτέ-
ρα ἅλυσις περὶ τὴν ὑπεροχὴν τοῦ τὸ
μα v. σωλῆνος, καὶ διαλεγχίλου τοῦ μα εἰς
β v. βάρος ἀποδεδόσθω τὸ μ. ὁ δὲ συγκε-
κρινωμένος τῷ βάρει κρίκος χειρὶ καλεί-
σθω καὶ σχαστηρία καθάπερ ἐπὶ τῶν
καταπελτῶν γίνεται· ὅπως τῆς σχαστη-
ρίας ἀπολυθείσης ἀπὸ τινὸς σπαρτίου
τὸ βάρος κατενεχθὲν, ἐπιστρέψῃ τόν τε
μβ v. διόνυσον καὶ τὴν νίκην καὶ ἡ β α δὲ
σπάρτος δι' ἑτέρου κιονίσκου κρυπτέ-
σθω καθάπερ καὶ ἐπὶ τῶν σωλήνων εἴ-
ρηται :~

Μετὰ δὲ τὸ σπεῖσθαι πρῶτον τὸν διόνυ- πρώτως v.
σον δεήσει κυμβάλων καὶ τυμπάνων
κτύπον γενέσθαι. γίνεται δὲ καὶ τοῦτο
οὕτως. ἐν τῇ κάτω βάσει ἐν ᾗ εἰσὶ καὶ καταβάσει v.
οἱ τροχοὶ ἀγγεῖον τίθεται ἔχον σφαιρία
μολιβᾶ συρρέοντα εἰς τὸν πυθμένα, v.
τῷ ἐν δὲ τῇ πυθμένῃ τρῆμα γίνεται εὐλύ-
-νι v. τως δυνάμενον δέξασθαι τὰ σφαιρία
κλειθρίον ἔχον ἀνοιγόμενον ὑπὸ τῆς
σπαρτίου, ὅταν δέῃ ὑπόκειται δὲ τῷ
τρήματι τυμπάνιον ἐπικεκλιμένον καὶ
τούτῳ ἐξήφθω κυμβάλιον, ἐκπίπτοντα
οὖν τὰ σφαιρία κρούσει πρῶτον τὸ τυμ-
πάνιον, καὶ ἐκ τούτου ἀποπίπτοντα εἰς
τὸ κυμβάλιον τὸν ἦχον ἀπολελέσει, δύ-
ναται δὲ μέσον διάφραγμα λαβὸν τὸ
ἀγγεῖον δύο χώρας ποιῆσαι ὥστε ἐν
ἑκατέρᾳ εἶναι σφαιρία τὰ μὲν ἐν τῇ
μιᾷ χώρᾳ τὸν πρῶτον ἦχον ἀποτελεῖν
τὰ δὲ ἐν τῇ ἑτέρᾳ τὸν ἑξῆς κλειθρίου
ὁμοίως ἀνοιχθέντος :~

Ἑξῆς δὲ δεῖ τὸ περιστύλιον στεφανωθῆ-
ναι τὸ ἐν τῇ βάσει. γίνεται δὲ οὕτως
θω- v. νοείσθω τὸ θοράκιον τὸ ἐπικείμενον ἐν

τῷ τετραστύλῳ τὸ αβ γδ ἔχον ἐντὸς ἕτερον θωράκιον [θωρακίων] τὸ εζηθ ὥστε τὸ μεταξὺ τῶν δύο χώρας θωρακίων [θωρακίων] κενὸν ἐκ τοῦ κάτω μέρους ὑπάρχειν. γενηθὲν δὲ πλέγμα ἐκ στεφάνων τετραγώνων πληκτῇ οἷα ἐάν τις βούληται καὶ πρὸς τὴν ὄψιν ἐναρμόστως καὶ τοῦτο πτυγὲν ἐγκρύπτεται εἰς τὸν εἰρημένον μεταξὺ τῶν θωρακίων τόπον. τὰς ἄνω ἀρχὰς ἐξημμένας ἔχων ἐκ τοῦ θωρακίου. καὶ ἵνα μὴ αὐτόματον καταφέρηται, σανίδιον ἐπίμηκες ἁρμόζῃ τῷ μεταξὺ τῶν θωρακίων τόπῳ καθ' ἑκάστην πλευρὰν τοῦ θωρακίου γίνεται ὥστε ἐπιπωμάσαι τὸ πλέγμα, καὶ συσχεῖν εἰς τὸ ἄνω μέρος. ἵνα δὲ μὴ αὐτόματον τὰ σανίδια ἀποπίπτῃ ἐκ τῆς μιᾶς πλευρᾶς τῆς εἰς τὸ ἐντὸς τοῦ θωρακίου μέρος στρωφομάτια [στρουφομάτια] εὔλυτα λαμβάνει, ἵνα ὅταν ἐπιπωμασθῇ ἐκ τοῦ ἑτέρου μέρους, ἐπιστρεπτῷ κόρακι κατέχεται ὥστε μὴ ἀνοίγεσθαι, ἐκ δὲ τοῦ ἑτέρου μέρους τοῦ κόρακος, ἀγκύλη σπάρτος περιτίθεται, ἥτις ταθείσης τῆς σπάρτου καὶ τοῦ κόρακος ἐπιστραφέντος ἀποπίπτει, καὶ οὕτως τὸ πλέγμα καθίεται, ἔχει δὲ τὸ πλέγμα εἰς τὰ κάτω μέρη βαρύλλια μολιβᾶ ἐκδεδεμένα πρὸς τὸ ταχέως καταφέρεσθαι.

Τὸ λοιπὸν δὲ δὴ καταλείπεται ὑποδεῖξαι πῶς αἱ βάκχαι χορεύουσι κατὰ τὸν δέοντα καιρόν. γίνεται οὖν καὶ τοῦτο οὕτως ὁ ναΐσκος στρογγύλος ἐν ᾧ ἐστὶν ὁ διόνυσος στυλοβάτῳ ἔχ[…] [ἐχέτω] στρογγύλον καὶ λεῖον κατὰ τὸ ὕψος. ἔστω οὖν οὗτος ὁ αβ γδ περὶ δὲ τοῦτον περικείσθω ἴτυς ἡ εζηθκλμν ἁρμοσθῇ τῷ στυλοβάτῃ ὥστε εὐλύτως περὶ αὐτὸν στρέφεσθαι περὶ δὲ τὸν κρόταφον τῆς κλμν περιφερείας ἐντετορνευέσθω σωλὴν ἐν ᾧ σπάρτος ἐπειληθεῖσα, ἐγκεχριμίσθω εἰς τὸ βάθος τοῦ σωλῆνος

Margin notes (left):
forsit. leg. τὴν [τῶν] δύο θωρακίων χώραν κενήν
-την ἐχέτω ν.

Margin notes (right):
τὴν ν.
χώραν
-ὴν ν.
εὐ- ν.
α ν.
ἐκ- ν.
-ου ν.
-σιν ν.
τὸ ν.
ἐχέτω
δὲ ν.

ἧς ἡ μὲν μία ἀρχὴ κεκρύφθω διὰ τοῦ πύργου εἰς τὸ βάθος τοῦ σωλῆνος ὥστε μηκέτι ἐκσπᾶσθαι· ἡ δὲ ἑτέρα διὰ τροχίλου ἀποδεδόσθω εἰς τὸ κάτω μέρος τοῦ θωρακίου καὶ ἐπειλήσθω εἰς ἕτερον σωλῆνα ἐνόντα ἐν τῷ τυμπάνῳ, ᾧ συμφυὴς ἔξω ἄξων εὐλύτως στρεφόμενος, τῷ δὲ ἄξονι περιειλήσθω ἑτέρα σπάρτος καὶ ἀποδεδόσθω εἰς τὴν λείαν, ἐμβήσεται οὖν ταθείσης τῆς περὶ τὸν ἄξονα σπάρτου ἐπειλεῖσθαι ἐπὶ τὸ συμφυὲς αὐτῷ τύμπανον τὴν ἐκ ἴτυος σπάρτον καὶ οὕτως χορεύειν τὰς βάκχας, ἐπεὶ οὖν δὶς αὐτὰς δεῖ χορεῦσαι, ἔχει χάλασμα διαμεμετρημένον ἡ περὶ τὸν ἄξονα σπάρτος, ὅπως στάσις γένηται τῶν βακχῶν διὰ τοῦ χαλάσματος, ταθείσης δὲ αὐτῆς πάλιν χορευσούσης, ἐπειχεύσονται γὰρ τῇ εἰρημένῃ ἴτυϊ αἱ βάκχαι:~

Ὅσαι δὲ σπάρτοι ἐκ τῆς κάτω βάσεως εἰς τὴν λείαν ἀποδίδονται, δεῖ ταύτας ἀφανεῖς ὑπάρχειν. γίνεται οὖν καὶ τοῦτο οὕτως, ἔσω γὰρ τὸ στόμα τῆς σύριγγος ἐν ᾗ ἐστὶν ἡ λεία τὸ αβ γδ καὶ κεκλίσθω διὰ τοῦ ἐν τῇ σύριγγι στόματος διάφραγμα κατὰ τὴν εζ εὐθεῖαν, ἀπολαμβάνον τὸ δὲ διάστημα ὅτι στενότατον. ἡ μὲν οὖν κέγχρος ἐμβληθήσεται εἰς τὴν εβ χώραν αἱ δὲ σπάρτοι ἐκ τοῦ κάτωθεν μέρους ἀνενεχθήσονται εἰς τὸν γδ εζ χώραν καὶ ἀποδοθήσονται εἰς τὴν λείαν τὴν ἐν τῇ αβ εζ χώρᾳ διὰ τροχίλου, οὕτως γὰρ ἀφανεῖς ἔσονται πᾶσαι αἱ κάτωθεν ἀναφερόμεναι σπάρτοι. ἐπεὶ οὖν πολλῶν κινήσεων γινομένων καὶ τῆς τοῦ πλινθίου πορείας πολλῆς ὑπαρχούσης ἀνάγκη μὴ ἐξαρκεῖν τὸ τῆς σύριγγος ὕψος δεῖ καὶ τοῦτο μηχανήσασθαι, πρὸς μὲν οὖν τὸ μῆκος τῆς πορείας δύνανται οἱ περὶ τὸν

ἄξονα δύο τροχοὶ αὐξανόμενοι πολὺ
μῆκος παρέξειν [άσχε], ἢ τὸ τοῦ ἄξονος πά-
χος ἔλασσον γινόμενον, ἅπαξ γὰρ τοῦ
ἄξονος στραφέντος κινηθήσεται τὸ πλιν-
θίον τηλικαύτην ὁδὸν, ἡλίκην ἐστὶν ἡ -κη V.
τοῦ ἑνὸς τροχοῦ περιφέρεια διὸ εὐλόγως
μείζονας αὐτοὺς δεῖ πειρᾶσθαι ποιεῖν.
Οὐ μὴν ἀλλὰ καὶ οὕτως δυνατόν ἐστι, νοεί-
σθω γὰρ τὸ τοῦ ἄξονος πάχος τὸ αβ ἡ δὲ
τοῦ συμφυοῦς αὐτῷ τροχοῦ περιφέρεια αὐτῆς V.
ἡ γδ καὶ ὑπερκείσθω ἕτερος ἄξων, ἐν
κνώδαξιν εὐλύτως στρεφόμενος, οὗ τὸ
πάχος ἔστω τὸ εζ τούτῳ δὲ συμφυὲς ἔ-
στω τύμπανον τὸ ηθ καὶ περὶ μὲν τὸν αβ
ἄξονα σπάρτος περιειληθεῖσα ἀποδε-
δέσθω περὶ τὸ ηθ τύμπανον, ἐκ δὲ τοῦ
εζ ἄξονος ἑτέρα σπάρτος ἐκδεθεῖσα
καὶ ἐπειληθεῖσα ἀποδεδέσθω διὰ τροχί-
λου τοῦ κ εἰς τὴν ἐν τῇ σύριγγι λείαν
τὴν λ. συμβήσεται οὖν ἀποστραφέντος
τοῦ εζ ἄξονος ὀλίγον μὲν μέρος τῆς σύ-
ριγγος κενοῦσθαι τοσοῦτον ὅση ἐστὶν ἡ
τοῦ εζ ἄξονος περιφέρεια τὴν δὲ ἐκ
τοῦ αβ ἄξονος σπάρτον ἅπαξ ἐπειλη-
σαι τὸν ηθ τύμπανον μεῖζον ὂν τοῦ αβ τὸ V.
ἄξονος ὥστε πλεονάκις τὸν αβ ἄξονα
στραφῆναι σὺν τῷ γδ τροχῷ καὶ διὰ τοῦτο
πολὺ μῆκος τῆς πορείας γίνεσθαι. εἰδέ-
ναι μέντοι χρὴ ὅτι μείζονος λείας προσ- εἰς
δεῖται, διὰ τὸ τοὺς μείζονας κύκλους ὑ- ἀ- V.
πὸ τῶν ἐλασσόνων κινεῖσθαι ταῦτα γὰρ
διὰ τῶν μοχλίων δῆ ἐστιν καὶ τὰς ἄλλας ἐστι V.
δὲ τὰς ἔξωθεν τῆς πορείας κινήσεις δυ-
νατόν ἐστι μεγάλας οὔσας διὰ μικρῶν δι-
αστημάτων ἐπιτελεῖσθαι. ἐὰν γὰρ ἡ κι-
νοῦσα τὸ ὄργανον τοῦ διονύσου σπάρτος πε-
ρὶ μείζονας κύκλους ἀποδίδοται, ἡ δὲ -δω- V.
εἰς τὴν λείαν περὶ ἐλάσσονας ἄξονας

καὶ συμφυ-

ἅπαξ στρεφόντος V.

καὶ συμφυεῖς ὄντας τῷ μείζονι καθάπερ καὶ ἐπὶ τῆς πορείας ὑπεδείξαμεν :~

Δύναται δὲ καὶ ἄλλως ἥτε ἐπιπορεία καὶ ἡ ἀποπορεία γίνεσθαι καὶ αἱ ἔξωθεν κινήσεις. ἔστω γὰρ τὸ τῆς σύριγγος στόμα τὸ αβ γδ διαπεφραγμένον δυσὶ διαφράγμασι διόλου τοῦ ὕψους τῆς σύριγγος τοῖς κατὰ τὴν εζ ηθ εὐθεῖαν. ὥστε διὰ τοῦ μεταξὺ τόπου τῶν διαφραγμάτων τὰς κάτω σπάρτους ἀναφέρεσθαι καὶ ἀποδίδοσθαι εἰς τὴν λείαν. ἡ μὲν οὖν ἐν τῇ αβ εζ σύριγγι λεία τήν τε ἐπιπορείαν καὶ τὴν ἀποπορείαν ποιήσεται, ἡ δὲ ἐν τῇ ηθ γδ τὰς ἄλλας κινήσεις οὕτως. ἔστω γὰρ τὸ μὲν ἐν τῷ πυθμένι τῆς αβ εζ σύριγγος τρῆμα δι' οὗ ἡ κέγχρος ἐκρέει τὸ κ τὸ δὲ ἐν τῇ ηθ γδ τὸ λ ἑκατέρῳ δὲ κλειθρίον γεγονέτω δυνάμενον εὐκόπως παράγεσθαι: ὅταν οὖν μέλλῃ πορεύεσθαι τὸ πλινθίον παράξομεν τὸ τοῦ κ τρυπήματος κλειθρίον, ὥστε ἀνοιχθῆναι. Καὶ ἵνα εὐθέως ὁρμὴν λαβὸν τὸ πλινθίον κινηθῇ, ἕξει ἡ σπάρτος ἡ ἐκ τῶν ὑπερτεθχῶν ἀποδιδομένη εἰς τὴν λείαν, χαλασμάτιον καὶ δῆλον ὅτι χρόνος τις ἔσται ἀποσπάντων ἡμῶν πρὸ τοῦ κινηθῆναι τὸ πλινθίον τοσοῦτος ὅσον ἦν τὸ τῆς σπάρτου χάλασμα, ὅταν δὲ δέῃ στῆναι τὸ πλινθίον, καὶ τὰς ἄλλας ἐπιτελέσαι κινήσεις, ἔτι ἐπιπορευομένου αὐτοῦ σπάρτος τις ἐπισπάσεται τὸ πρὸς τῷ λ κλειθρίον, καὶ ἀνοίξει αὐτὸ καὶ πάλιν ἵνα μὴ πορευομένου ἑτέρα γίνηται κίνησις ἕξει χάλασμα, καὶ ἡ ἐκ τῆς ἑτέρας λείας ἐκδεδεμένη σπάρτος ἥτις παθεῖσα, ἐπισπάσεται καὶ τὸ

Left margin: δι' ὅ- λ. v. — ταῖς v. — τε v. — ἣ v. — κ κλει- θρίῳ v. — fors. πα- v.

Right margin: τὰς εζ ηθ εὐθεί- ας. — τὰς λείας. — κέγχρος — δηλονότι v.

πρὸς τῷ π κλειθρίον καὶ οὕτως στήσεται τὸ πλινθίον, αἱ δὲ ἄλλαι ἐπιτελεσθήσονται κινήσεις, ὅταν οὖν πάλιν δέῃ ἀποπορεύεσθαι τὸ πλινθίον ἑτέρα σπάρτος ἐπισπάσεται τὸ πρὸς τῷ π κλειθρίον καὶ ἀνοίξει αὐτὸ καὶ οὕτως τὴν ἀποπορείαν ποιήσεται:~ -ῳ ν. -ῳ ν.

## Περὶ στατῶν αὐτομάτων:~

Ὅσα μὲν οὖν ἔδει περὶ τῶν ὑπαγόντων αὐτομάτων πραγματευθῆναι νομίζομεν ἱκανῶς ἀνεστράφθαι ἐν τοῖς προγεγραμμένοις· καὶ γὰρ εὐχρήστως καὶ ἀκινδύνως καὶ ξένως παρὰ τὰ πρὸ ἡμῶν ἀναγεγραμμένα κατακεχωρήκαμεν, ὡς ἐστὶ δῆλον τοῖς πεπειραμένοις τῶν πρότερον ἀναγεγραμμένων. περὶ τῶν στατῶν αὐτομάτων βουλώμεθα γράφειν, καινότερον τι καὶ βέλτιον τῶν πρὸ ἡμᾶς ἅμα καὶ πρὸς διδασκαλίαν ἁρμόζον οὐδὲν εὕρομεν τῶν ὑπὸ Φίλωνος τοῦ Βυζαντίου ἀναγεγραμμένων. ἔστι δὲ μῦθος καὶ ἡ διάθεσις τῶν περὶ τὸν Ναύπλιον ἐν ᾗ πολλαί τε καὶ ποικίλαι διαθέσεις ὑπάρχουσι καὶ οὐ φαύλως οἰκονομούμεναι πλὴν τῆς μηχανῆς τῆς περὶ τὴν Ἀθηνᾶν, ἐργωδέστερον γάρ πως τὴν κατασκευὴν ἐποιήσατο, δυνατὸν γὰρ ἦν χωρὶς μηχανῆς φανῆναι αὐτὴν ὑπὲρ τὸν πίνακα, καὶ μετὰ ταῦτα πάλιν ἀφανῆ γενέσθαι· τὸ γὰρ ζώδιον αὐτῆς δυνατόν ἐστι περὶ τοὺς πόδας ἐν γιγγλύμῳ κινούμενον τὸν μὲν πρῶτον χρόνον κατακεκλιμένον εἶναι ὥστε μὴ φαίνεσθαι, ἔπειτα δὲ ὥσπερ ὑπὸ σπαρτίου τινὸς ἐπισπασαμένη ὀρθὸν φανῆναι καὶ πάλιν ὑπὸ ἑτέρας κατακλιθῆναι, ἔτι δὲ καὶ ὑποστομένος πρὸς τούτῳ κεραυνὸν πεσεῖν ἐπὶ τὸ τοῦ Αἴαντος ζώδιον καὶ βροντῆς ἦχον γενέσθαι οὐ κατεχωρήθη· πάλιν γὰρ συν-

ἀναστρέφεσθαι ν.

δὲ ν. ὁ ν. ἡμῶν ν.

ἢ- ν.

γιγγλύμῳ ν.

-του ν. -νης ν.

κατεχώρησε ν.
πολλοῖς ν.

-στ ν. τάγματα περιτυχόντες, οὐκ εὕρομεν τοῦτο
οὐχ ν. ἀναγεγραμμένον, καλῶς δοκεῖ τὶς ἡμᾶς
-τας ν. καταιτρέχοντες τοῦ φίλωνος διαβάλλειν
αὐτὸν, ὡς μὴ δεδυνημένον τὴν ὑπόσχε-
σιν ἀπαρτίσαι. ἀλλ' οὐχ οὕτως ἔχει πολ-
λῶν δὲ οὐσῶν τῶν ἐν τῇ διαθέσει ὑπο-
-ων ν. σχέσεως ἴσως ἔλαθεν αὐτὸν ἀναγράφον-
τα αὐτήν, δυνατὸν γὰρ ἐστὶν ἀγγεῖόν τι ἐν
-ον ν. αὐτῷ σφαιρία ἔχειν μολιβᾶ καὶ ἔχον τε-
τρυπημένον τὸν πυθμένα ἀποστάζεσθαι
κατὰ τὸν δέοντα καιρόν τὰ δὲ σφαιρία
ἐμπίπτοντα διφθέρᾳ ἐξηπλωμένῃ ξηρᾷ
καὶ πυκνῇ τὸν ἦχον τῆς βροντῆς ἀποδιδό-
ναι, καὶ γὰρ ἐν τοῖς θεάτροις ὅταν δέῃ τὸν
ὅμοιον ἦχον γενέσθαι ἀγγεῖα ἀποστάζον-
ται βάρη ἔχοντα, ἵνα φερόμενα ἐπὶ δι-
φθέρας ὡς εἴρηται ξηρᾶς καὶ περιτετα-
μένης τῆς βύρσης καθάπερ ἐπὶ τυμπά-
-λεῖ ν. νοις τὸν ἦχον ἀποτελῇ περὶ δὲ τῶν λοι-
πῶν τῶν ἐν τῇ διαθέσει τοῦ ναυπλίου
κατὰ μέρος γινομένων εὐαρεσούμεθα
ὡς ἐν τάξει καὶ εὐμεθόδως ὑπ' αὐτοῦ ἀ-
ναγεγραμμένων, διὸ δὴ οὐ παρητησά-
ο ν. μεθα τὰ ὑπ' αὐτοῦ περὶ ὧν εἴπωμεν
γεγραμμένα, οὕτως γὰρ νομίζομεν τοὺς
ἐντυγχάνοντας τῆς μεγίστης ὠφελείας τυγ-
χάνειν ὅταν τὰ μὲν καλῶς ὑπὸ τῶν ἀρ-
χαίων εἰρημένα παρατίθηται αὐτοῖς τὰ
δὲ παραθεωρηθέντα ἢ διορθώσεως τυγ-
τυχόν ν. χάνοντα καταχωρίζηται περὶ τῆς τῶν πι-
τα ν. νακίων οὖν κατασκευῆς νῦν ἀρξώμεθα
λέγειν:~

Ἔστι μὲν οὖν παραπολὺ τῶν ὑπαγόντων
ἡ ποίησις ἀσφαλεστέρα τε καὶ ἀκινδυνο-
ἀπί- ν. τέρα καὶ τὴν ἐπίδειξιν οὐκ ἀπείθανον ἔ-
χουσα. τὸ δὲ πρόβλημα ἐστὶ τοιοῦτον,
ὥστε πίνακος ἐπιτεθέντος ἐπί τι κιόνιον
ξύλινον ἀνοιχθῆναί τε αὐτόματον καὶ τὰ
ἐν αὐτῷ ἐζωγραφημένα φαίνεσθαι κι-
νούμενα πρὸς λόγον τῆς ὑποκειμένης

διαθέσεως καὶ πάλιν κλεισθέντος αὐτομάτου διαγενέσθαι ὀλίγον παντελῶς χρόνον καὶ ἀνοιχθέντος φαίνεσθαι ἄλλα τὰ ἐν αὐτῷ γεγραμμένα καὶ εἰς τὸ δυνατὸν πάλιν τὰ αὐτὰ ἢ τινα αὐτῶν κινεῖσθαι καὶ τοῦτο πάλιν πλεονάκις γενέσθαι καὶ ἐκτὸς τῶν πινάκων, ἢ μηχανὰς ἐρρωμένας φαίνεσθαι καὶ περιαγομένας ἢ ἄλλας τινὰς κινήσεις. ἡ μὲν οὖν ὑπόθεσις τοιαύτη. χαριέστατος δὲ τῶν μεταχειριζομένων ὁ γλαφυρωτάτην διάθεσιν ἐπινοῶν ὥστε προθησόμεθα μίαν αὐτῶν διαθέσεων ἣν μάλιστα κρίνομεν καὶ μετὰ τὴν κατασκευὴν ἐμφανιοῦμεν. ἀρκέσει γὰρ παρὰ ἑνὸς πίνακος διὰ γὰρ τῶν αὐτῶν πάλιν τὰ αὐτὰ οἰκονομεῖται καθάπερ καὶ ἐπὶ τῶν ὑπαγόντων ἀπεδείξαμεν. —

Οἱ μὲν οὖν ἀρχαῖοι κέχρηνται ἁπλῇ τινι διαθέσει ἀνοιχθέντος γὰρ τοῦ πίνακος ἐφαίνετο ἐν αὐτῷ πρόσωπον γεγραμμένον τοῦτο δὲ τοὺς ὀφθαλμοὺς ἐκίνει καμμύοντε καὶ ἀναβλέπον πολλάκις. ὅταν δὲ πάλιν κλεισθεὶς ἀνοιχθῇ ὁ πίναξ τὸ μὲν πρόσωπον οὐκέτι ἑωρᾶτο. ζώδια δὲ γεγραμμένα ἔς τινα μῦθον διεσκευασμένα, καὶ πάλιν ὅταν κλεισθεὶς ἀνοιχθῇ διάθεσις ἄλλη ἐφαίνητο ζωδίων συναναπληροῦντα τοὺς ὑποκειμένους μύθους τοὺς ἑξῆς ὥστε τρεῖς μόνον κινήσεις διαφόρους ἐπὶ τοῦ πίνακος γίνεσθαι μίαν μὲν τῶν θυρῶν, ἄλλην δὲ τῶν ὀμμάτων τὴν τρίτην, τῶν ἐπικαλυπτόντων οἱ δὲ καθ' ἡμᾶς μύθους τε ἐμβεβλήκασι εἰς τοὺς πίνακας ἀστείας καὶ κινήσεσι κέχρηνται πολλάκις καὶ ἀνομοίαις. καθὰ δὲ προεθέμην ἐρῶ περὶ ἑνὸς πίνακος τοῦ δοκοῦντός μοι κρείττονος, μῦθος μὲν ἦν τεταγμένος ἐν αὐτῷ ὁ κατὰ τὸν ναύπλιον. τὰ δὲ κατὰ

deest in V.
τῶν V.
ἐν V.
εἰς V.
-ετο V.
τοῖς V.
-ους V.
πολλάκις V.

μέρος εἶχεν οὕτως. ἀνοιχθέντος ἐν ἀρχῇ
τοῦ πίνακος ἐφαίνετο ζῴδια γεγραμ-
μένα δώδεκα, ταῦτα δὲ ἦν εἰς τρεῖς στί-
οὗτοι ν. χους διῃρημένα, ἦσαν δὲ οὕτω πεποι-
ημένοι τῶν δαναῶν τινες ἐπισκευά-
ζοντες τὰς ναῦς καὶ γινόμενοι περὶ κα-
θολκήν. ἐκινεῖτο δὲ ταῦτα τὰ ζῴδια τὰ
μὲν πρίζοντα τὰ δὲ πελέκεσιν ἐργαζό-
μενα, τὰ δὲ σφύραις, τὰ δὲ ἀρίσι καὶ
τρυπάνοις χρώμενα ψόφον ἐποίουν πο-
λὺν καθάπερ ἐπὶ τῆς ἀληθείας γίνοιτο.
χρόνου δὲ ἱκανοῦ διαγενομένου κλει-
-σαν ν. σθεῖσαι πάλιν ἀνοίχθησαν αἱ θύραι καὶ
ἦν ἄλλη διάθεσις. αἱ γὰρ νῆες ἐφαί-
νοντο καθελκόμεναι ὑπὸ τῶν ἀχαιῶν.
κλεισθεισῶν δὲ καὶ πάλιν ἀνοιχθεισῶν,
οὐδὲν ἐφαίνετο ἐν τῷ πίνακι πλὴν ἀέ-
ρος γεγραμμένου καὶ θαλάσσης μετὰ
δὲ οὐ πολὺν χρόνον παρέπλεον αἱ νῆες,
στολοδρομοῦσαι καὶ αἱ μὲν ἀπεκρύπτον-
το αἱ δὲ ἐφαίνοντο πολλάκις παρεκο-
-ουν ν. λύμβων δὲ καὶ δελφῖνες, ὅτε μὲν εἰς
τὴν θάλατταν καταδυόμενοι ὅτε δὲ φαι-
νόμενοι καθάπερ ἐπὶ τῆς ἀληθείας καὶ
μικρὸν δὲ ἐφαίνετο χειμέριος ἡ θάλασ-
σα καὶ αἱ νῆες ἔτρεχον συνεχῶς. κλει-
σθέντα δὲ πάλιν καὶ ἀνοιχθέντα τῶν μὲν
πλεόντων οὐδὲν ἐφαίνετο, ὁ δὲ ναύπλι-
ος τὸν πυρσὸν ἐξηρκὼς καὶ ἡ ἀθηνᾶ
παρεστῶσα καὶ πῦρ ὑπὲρ τὸν πίνακα ἀνε-
κάυθη ὡς ὑπὸ τοῦ πυρσοῦ φαινομένης
ἄνω φλογός. κλεισθέντος δὲ καὶ πάλιν
ἀνοιχθέντος, ἡ τῶν νεῶν ἔκπτωσις ἐ-
φαίνετο καὶ ὁ αἴας νηχόμενος μηχανῆς
τε καὶ ἄνωθεν τοῦ πίνακος ἐξήρθη καὶ βρον-
τῆς γενομένης ἐν αὐτῷ τῷ πίνακι κε-
ραυνὸς ἔπεσεν ἐπὶ τὸν αἴαντα καὶ ἠφα-
νίσθη αὐτοῦ τὸ ζῴδιον καὶ οὕτως κλει-
σθέντος καταστροφὴν εἶχεν ὁ μῦθος, ὅ-
τως γίνεται, γινομένης τῆς πρώτης

ἀνοίξεως ἡμῖν ἐστι πῶς ἐν τῷ πίνακι φανῆναι ζῴδια τεκταίνοντα, περιεμφανίζεσθαι δέ τινι τρόπῳ τὴν κίνησιν λαμβάνειν. δεῖ οὖν τὰ μὲν ἄλλα πάντα μέρη τῶν ζῳδίων ἐν τῷ ἐδάφει τοῦ πίνακος γεγράφθαι διαθέσεις ἔχοντα πιθανωτάτας τὰς δεξιὰς δὲ χεῖρας μὴ γεγραμμένας ἐν τῷ πίνακι προσκεῖσθαι δὲ κεραλίνας ἐξ ἐλαφρῶν κεράτων λεπτὰς εὖ μάλα κατειργασμένας ἵνα προσπίπτωσι καὶ μηδὲν δῆλον ἀπόστημα ἔχωσι, δεῖ δὲ καὶ τὰ ἀρμένια ἐν οἷς ἐργάζονται κεράτινα εἶναι, προσκεῖσθαι δὲ ἐν ταῖς χερσὶ καὶ ἀπογεγράφθαι τὰς χεῖρας ὁμοχρόους τοῖς ἄλλοις σώμασι καὶ τὰ ἀρμένια ὡς προσῆκόν ἐστιν. ἔστω οὖν ἡ χεὶρ ἡ αβ ἡ τρύπησα οὖν αὐτὴν κατὰ τὸν ὦμον, καὶ ἐποίησα τὸ τρύπημα τετράγωνον ὡς γέγραπται καὶ λαβὼν κεράτινον ἐπίουρον ἐνήρμοσα εἰς μὲν τὸν ὦμον τετράγωνον ποιήσας καὶ ἐνεχόλυσα. τὸ δὲ λοιπὸν τοῦ ἐπιούρου στρογγύλον καὶ λεῖον καλῶς τρυπήσας δὲ κατὰ τοῦ δεξιοῦ ὤμου ἔδωσα τὸν ἐπίουρον ἕως οὗ προσκαθίσῃ τὸ χερίον εἰς τὸ ζῴδιον, ἐὰν οὖν καταλάβωμεν τοῖς δακτύλοις ἐκ τῶν ὄπισθεν μερῶν τοῦ πίνακος, τὸ ὑπερέχον τοῦ ἐπιούρου στρέφοντες κινηθήσεται τὸ χερίον. ὅπως οὖν ὑπὸ τῆς λείας αὐτόματον κινῆται, ποιῶ κανόνιον τὸ γδ καὶ τρύπω κατὰ τὸ δ καὶ τὸν ἐπίουρον τὸν ἐκ τῆς χειρὸς ὑπερέχοντα εἰς τὸ ὄπισθεν μέρος τοῦ πίνακος, ἐναρμόζω εἰς τὸ τοῦ κανονίου τρύπημα ἀραρότως, καὶ ἐγκολλῶ, ἵνα κινουμένου τοῦ κανονίου κινῆται καὶ τὸ πρὸς τῷ ὤμῳ, τὸ δὲ κανόνιον τοῦτο καλεῖται ὑσπλήγγιον, εἰς τὸ ἓν οὖν μέρος τοῦ ὑσπληγγίου τρυπήσαν ἐξέδησα

προ- ν.
ους ν.
ἐτρύ- ν.
-κόλλησα ν.
† καλῶς ν.
τρυπῶ ν.
-ζον ν.
-ας ν.

σπάρτον καὶ ἐκρέμασα λείαν μολιβδίνην τὴν ι. καὶ ὑπέπηξα ἐπίουρον ἐπὶ τὸ ἄκρον τοῦ ὑπάληπτος τὸ ζ ἵνα ἐπαναπαύηται τοῦ ὑπαληπτίου τὸ ἄκρον. οὐκοῦν ἐὰν τῷ δακτύλῳ κάτω βαρήσωμεν τὸ ὑπαλήπτιον κατὰ τὸ ζ μέρος, μετεωρισθήσεται τὸ δ μέρος σὺν τῇ λείᾳ. ἐὰν δὲ ἀφῶμεν καταπεσεῖται ἐπὶ τὸν ἐπίουρον ἐπισπωμένης τῆς λείας καὶ ψόφον ποιήσει. ἐπιδώσει δὲ καὶ τῇ χειρὶ τὴν κίνησιν ἐν τῷ ἔμπροσθεν μέρει τοῦ πίνακος ἵνα οὖν πυκνῶς καὶ αὐτομάτως κινῆται παρατίθημι τὸν ἀστερίσκον στρεφόμενον περὶ ἐπίουρον ἐμπεπηγότα τῷ ἐδάφει τοῦ πίνακος ἀρφερτῶς ἕξει δὲ ὁ ἀστερίσκος προσόντα αὐτῷ προσφυῆ τροχίλον τὸν η περὶ ὃν ἡ σπάρτος περιειληθεῖσα πολλάκις ἀποδοθήσεται τῇ λείᾳ. ἵνα ἐπισπωμένη ἡ λεία κατὰ μικρὸν ἐπιστρέφῃ τὸν ἀστερίσκον καὶ ὁ ἀστερίσκος ταῖς στροφαῖς τὸ ὑπάληπτα κρούῃ πυκνά. τὸ δὲ ἔσχατον μέρος τῆς σπάρτου ἀγκυλωθὲν περὶ τοῦ τύλου περιτίθεται, ἐφ' οὗ τὸ η, ὅταν μηκέτι τὴν χεῖρα κινεῖσθαι ἀποσπασθεῖσα ἀπὸ τοῦ τύλου περιγυνοίη :~

in Veneti margine. οὐκ ἔστι συνεχὴς ὁ λόγος οὗτος.

τὰ μὲν περὶ τοὺς τεκτονεύοντας οὕτως τῷ πίνακι κεραυνὸς ἐπὶ τὸν αἴαντα καὶ ἠφανίσθη αὐτὸ τὸ ζῴδιον καὶ οὕτω δὲ κλεισθέντος καταστροφὴν εἶχεν ὁ μῦθος ἡ μὲν οὖν διάθεσις ἦν τοιαύτη. κατασκευάζειν δὲ δεῖ καθάπερ ἐγράψαμεν ἡλίκον ἂν βούλοιτό τις τὸν πίνακα ποιεῖν τηλικοῦτον τῷ μεγέθει πλινθίον πήξας ἐκ σανίδων ἐλαφροτάτων πάνυ. πλάτος δὲ ἐχέτωσαν αἱ σανίδες τοῦ ς μέρους τοῦ μήκους τῶν μακροτέρων πλευρῶν, τὸ δὲ ἔδαφος τοῦ πίνακος δεῖ καταρμόζειν εἰς τὸ πλινθίον μέσον ὑπὸ δὲ τὸ κάτω τοῦ

μέρος ν.

πλινθίου θωράκιον κοῖλον ὑποπῆξαι
ἀφανὲς εἰς τὸ ὄπισθεν μέρος ὧν καθ-
αρμοσθεισῶν τῶν θυρῶν καταβήσον-
ται οἱ στροφεῖς μῆκος ἔχοντες ὥστε
καὶ τούτων κάτωθεν ἐπιστρεφομένων
ἀνοίγεσθαι καὶ πάλιν κλείεσθαι τὰς θύ-
ρας. ἔσω οὖν τὸ θωράκιον ἐκ τῶν
ἔμπροσθεν θεωρούμενον τὸ αβ στροφεῖς
δὲ οἱ ἐκ τῶν θυρῶν καταβεβηκότες
οἱ γδ. οὐκοῦν ἐάν τις ταῖς χερσὶν ἐ-
πιστρέψῃ τοὺς στροφεῖς ἐφ' ἑκάτερον
μέρος ἀνοίξει καὶ κλείσει τὰς θύρας.
ἵνα οὖν τοῦτο διὰ τῆς σπάρτου γίνηται
αὐτόματον ἑλκομένης αὐτῆς ὑπὸ τῆς
λείας ἐν τῇ σύριγγι οὔσης ἐπὶ τῆς ψάμ-
μου παρατίθημι ταῖς στροφεῦσιν ἄξονα
πλάγιον. ἐφεστῶτα μικρὸν τῶν στροφέων
τὸν εζ στρεφόμενον εὐτόρνως ἐτρύπησα
δὲ ἑκάτερον τῶν στροφέων καὶ λαβὼν
σπάρτον ἐπείλησα διπλοῦν καὶ ἐνέβαλον, -κλῶν V.
τὴν δὲ ἁπλῆν, εἰς τὸ τρύπημα καὶ ἐπίου-
ρον μετὰ κόλλης ἐνέκρουσα καὶ ἀπέλα-
βον αὐτὴν ὥστε μηκέτι ἐκσπᾶσθαι ἀλ-
λὰ μένειν ἀσφαλῶς, τοῦτο δὲ ποιή-
σας ἀποκατέστησα τὰς ἀρχὰς περὶ τὸν
ἄξονα τὴν μὲν κατὰ τὸ γδ ἄνωθεν τοῦ
ἄξονος τὴν δὲ κατὰ τὸ εζ κάτωθεν τρυ-
πήσαν (ξ V.) ὁμοίως τὸν ἄξονα ἑκάστην ἀρ-
χὴν ἀπέλαβον ἐπιούροις ἀσφαλῶς τι-
θεὶς εὖ μάλα τοὺς σπάρτους τὴν κατὰ τὰς V.
τὸ ε καὶ τὸ ζ. αἱ δὲ σπάρτοι ἐπιστρέ-
ψουσι τοὺς στροφεῖς καὶ ἀνοίξουσι τὰς
θύρας ὅταν δὲ πάλιν τὰ ἐναντία ἐ-
πιστρέφω τὸν ἄξονα καὶ μέντοι ἀνεθή-
σονται ὅθεν κλεισθήσονται αἱ θύραι. οὕ-
τως οὖν ἀπὸ μιᾶς κινήσεως ἅμα ἀμ-
φότεραι αἱ θύραι κλεισθήσονται ὅτε δὲ
ἀνοιχθήσονται. ἵνα οὖν διὰ τῆς λείας,
τοῦτο γίνηται ἐνέπηξα τύλους εἰς τὸν ἄ-
ξονα ἄνω

ξονα ἄνωθεν ἐφ' ὧν τὰ η̄ καὶ κάτωθεν
ἐφ' ὧν τὰ θ̄ καὶ λαβὼν σπάρτον καὶ κα=
ταμετρ<u>ι</u>σάμενος (κν.) τὸ μῆκος πρὸς τὴν σύ=
ριγγα τὴν ἔχουσαν τὴν ψάμμον καὶ ~~τὴν~~ κλεί=
αν, ἐν ὁποίοις δὲ ἂν ᾖ διαστήμασιν ἧψας
-ας v. ἀγκύλ<u>αις</u> καὶ ἔξω σπάρτος μὲν ἡ κ̄ ἀγ=
κυλίναι δὲ αἱ λ̄. τὴν ᾱ οὖν ἀγκύλην τὴν
ἀπὸ τοῦ κ̄ περιτίθημι περὶ τὸν τύλον τὸν
ᾱ τὸν ἀπὸ τοῦ ε̄ ἐπὶ τὸ η̄ τὴν δὲ ἐσο=
μένην ἀγκύλην περὶ τὸν κάτω τύλον τὸν
θ̄ καὶ οὕτως ἑξῆς πάσας προσκολλῶ αὐ=
τὰς περὶ τὸν ε̄ζ̄ ἄξονα κηρωτῇ μετὰ
ῥητίνης, ἔστι δὲ κεκαλυμμένον τοῦτο
παρακόλλημα καὶ τὰ παραχαλασμάτια
αὐτῶν πρὸς τὸν ἄξονα προσκολλῶ, ἵνα
μὴ τινα αὐτῶν ταραχθέντων δυσεργεί=
αν παρέχηται, ὅταν οὖν ἡ ἀρχὴ τῆς
ἧς v. σπάρτου ἐφ' ἧς ἐστὶν τὸ κ̄ <u>ἐκδεθεῖσα καὶ</u>
ἐν- v. <u>τὴν λείαν</u> ἑλκῆται πράως, ἀνοίξει καὶ
ἐκ τὴν κλείσει τὸν πίνακα χρόνους καὶ διαλείμ=
τελείαν v. ματα διδοῦσα. κλεισθέντος δὲ καὶ μετὰ ταῦ=
-οντας v. τα ἀνοιχθέντος δεῖ τοὺς μὲν τεκτονεύ<u>οτας</u>
μηκέτι φαίνεσθαι τὰς δὲ ναῦς καθελκο=
μένας. γίνεται οὖν καὶ τοῦτο καλῶς μέλ=
λομεν λέγειν ὀθόνιον διαλαβεῖν λεπτὸν
καὶ πυκνὸν ἴσον ἔχον μέγεθος τῷ τοῦ
πίνακος ἐδάφει, τοῦτο δὲ χρίσαντες ὑ=
εὐλύ- γροτάτῳ λευκῷ χρωματίῳ, ἵνα <u>ἄλυτος</u>
τως v. δύνηται συνεκλῆσθαι ζωγραφῆσαι τὰς
καθελκομένας ναῦς καὶ προσθέντες πρὸς
τὸν πίνακα τὸ μὲν ἄνω μέρος προση=
λῶσθαι κοντρίοις πρὸς τὸ τοῦ πίνακος
ἐπίπεδον ὑπ' αὐτὴν τὴν τοῦ πλινθίου
πλευράν πρὸς δὲ τὸ κάτω μέρος τοῦ ὀ=
θονίου προσ<u>γέγραψαι</u> χαλκοῦν ὀβε= -γράψαι
λίσκον δι' ὅλου πάχος ἔχοντα σύμμε=
τρον ἵνα εἰλοῦντες περὶ τὸν ὀβελίσκον
τὸ ὀθόνιον εἰς τὸ ἄνω μέρος τοῦ πίνακος
σω- v. καὶ συστρέψαντες καλῶς κρατή<u>σο</u>μεν

ὑπὸ τὴν πλευρὰν τοῦ πλινθίου καὶ ὅταν βουλώμεθα ἀφῶμεν, ἀφεθὲν δὲ τὸ ὀθόνιον ἐξελίσσηται ὑπὸ τοῦ βάρους τοῦ ὀβελίσκου καὶ συντόμως ἀπειληπτόμενον καλύψει τὰ ἐν τῷ πίνακι γεγραμμένα τοῦτο οὖν δεῖ γενέσθαι κεκλεισμένου τοῦ πίνακος αὐτόματον ἐν δὲ τῷ προτέρῳ δεῖ μένειν αὐτὸ συνειλημμένον ἄνω γίνεται δὲ οὕτως ὅταν εἰληθῇ καλῶς εἰς τὸ ἄνω μέρος καὶ τεθῇ ὑπὸ τὴν πλευρὰν τοῦ πλινθίου ὑποκάτω τοῦ εἰλήματος παρ' αὐτῷ ἐτρυπήθη εἰς τὸ ἔδαφος τοῦ πίνακος καὶ ὠθήθη διὰ τοῦ τρυπήματος ἐκ τοῦ ὄπισθεν μέρους τοῦ πίνακος εἰς τὸ ἔμπροσθεν μέρος. ἀγκύλης παρὰ τοῦ ἕως μὲν προεῖχε σύμμετρόν τι διάστημα καὶ ἐπισύρω ἀποληφθῇ ἀκριβῶς ἡλίκον δὲ δεῖξει, ναι αὐτὸ τὸ πρᾶγμα δείξει εἶτα κατ' αὐτὸ ἐν τῷ ἐδάφει τρύπημα, τρυπανὰ παρὰ τὴν πλευρὰν τοῦ πλινθίου τρύπημα εὐρύτερον τοῦ ἥλου καὶ διαρινῶ αὐτὸ ⌐ ὅπως πλείω καὶ περὶ τοῦτο εἰλημμένον τοῦ ὀθονίου περισφίγξαι εἰς τὴν ἀγκύλην καὶ διῶσαι διὰ τρυπηλίου τοῦ ἐν τῇ πλευρᾷ, καὶ ἄνωθεν περόνιον διώσας διὰ τῆς ἀγκύλης ∂ μένει οὖν συνεσφιγμένων τὸ εἴλημα τοῦ ὀθονίου συνεχόμενον ὑπ' αὐτῆς, ὅταν δὲ δέῃ καλυφθῆναι τὰ ἐν τῷ πίνακι κεκλεισμένων τῶν θυρῶν ἐκσπᾶσθαι τὴν σπάρτον τὴν προσδεδεμένην τῇ περόνῃ ἀποδεδομένην δὲ εἰς τὴν λείαν οὕτως οὖν πάντα τὰ ἐπικαλυπτόμενα ἐποιεῖτο συνειληθέντα καὶ ἑξῆς ἄνω ἐπ' ἄλληλα τεθέντα καὶ ἕκαστον αὐτῶν ἀγκύλην καὶ περόνην λαβὸν ὅσον δ' ἀνὰ τόπον καταλάβῃ τὰ εἰρημένα τῶν ὀθονίων, ἐπὶ τοσοῦτον ἀντιφράσσειν σανίσιν, ἵνα μὴ βλέπηται, τὸ δὲ σανίδιον γίνε-

τρυπᾶν v.
nihil deest.
-μα v.
-νον v.
deest in v.
δ' ἄν v
-ον v.

ται ὑπέρθυρον τῶν θυρῶν. δεῖ δὲ ἐν αὐτῷ ποιῆσαι ἐπιστύλιον στρογγυλόγλυφον ἵνα ἔχῃ λείαν ὄψιν. ταῦτα μὲν οὕτω γίνεται· κλεισθέντος δὲ καὶ ἀνοιχθέντος τοῦ πίνακος φαμὲν μὴ ἐμφαίνεσθαι πλὴν ἀέρος καὶ θαλάσσης γεγραμμένον καὶ μετὰ ταῦτα παραπλεῖν τὰς ναῦς. ποιήσομεν οὖν καὶ τὰ περὶ τὸν πλοῦν οὕτως. ἐξ ἑκατέρου μέρους τῶν θυρῶν παρὰ τοὺς στροφεῖς ἔξω ὁ πίναξ τόπους κενοὺς καταπεφραγμένους ἐκ τοῦ κατὰ πρόσθεν ἰδίως ἀπειργασμένους οἷον παρὰ σαδίων. ἐν δὲ τοῖς κενώμασι τούτοις ὑποπεφραγμένα σανίδια ἐπιτίθεται κανόνια ἔχοντα μέσα τετράγωνα ἰσόπλευρα εἰργασμένα καὶ ὀρθά, ὧν αἱ γωνίαι ἔσονται καταδεδεμέναι, ἔσονται δὲ ταῦτα ἐλάτινα, ἵνα μὴ λεπτὰ ὄντα διαστρέφωνται, καὶ κάτωθεν μὲν αὐτῶν ἔσται προσκείμενα πυρήνι διὰ χαλκᾶ εὔτορνα οἷς ὑποκείσονται ἐμπυελίδια, ἵνα ὦσιν εὔστροφα. ἄνωθεν δὲ στρογγύλα εἰργασθέντα καὶ λεῖα καὶ ἄνωθεν τῆς πλευρᾶς τοῦ πλινθίου τρυπηθείσης διωσθήσεται, ὥστε μὴ σφίγγειν μήτε λίαν εὔλυτον εἶναι ὡς στρέφεσθαι. τούτων γενομένων δεῖ χάρτην λαβόντα, λεπτότατον τῶν βασιλικῶν καλουμένων ἀποτεμεῖν αὐτοῦ τὸ μῆκος ἡλίκον ἂν περιέχῃ τὸ ὕψος τοῦ πίνακος ἔδαφος ὡς τῶν ὀθονίων τῶν συνειλημμένων καὶ ἀποτεμνόντων τὸν ὀμφαλὸν τοῦ χάρτου προσκολλῆσαι αὐτὸν πρὸς τὸν κανόνα τὸν ἐκ δεξιῶν τοῦ πίνακος ὥστε ἀντὶ τοῦ ὀμφαλοῦ τὸν κανόνα προσκεκολλῆσθαι ἢ οὕτως· ὑποστρέφοντι τὸ ὑπερέχον τοῦ πίνακος περιειλεῖν τὸν χάρτην περὶ τὸν κανόνα κεκλεισμένου τοῦ πίνακος τῷ χάρτῃ. ἔσται δὲ τοῦτο ἕως ἄνω ἐπὶ τὸν τοῦ ἑτέρου κανόνος τόπον ἐγγίσῃς πεπλη-

Marginalia (left): ἐκ- γ. (beside line 5); -νων γ. (line 6); ἐν- γ. (line 20); ἐρ- γ. (line 22); -χοι γ. (line 29); -τα γ. (line 35); ἕως ἂν (line 38)

Marginalia (right): παραστάδων γ. (beside line 13); προκείμενα πυρηνίδια γ. (line 20); τοῦτο δὲ ἐπιστρέφεται, ἕως ἂν ἐπικαλυφθῇ ὅλον τὸ ἔδαφος τοῦ πίνακος τῷ χάρτῃ γ. (lines 37–41)

ῥωκέναι τε καὶ οὕτως ἐάν τι πλεονά- ἂν V.
ζῃ, ἀποτέμνειν· δεῖ δὲ ὑποκολλῆσθαι
ὑπὸ τὴν ἀρχὴν τοῦ χάρτου κανόνα σφό-
δρα λεπτὸν εἰργασμένον. ἔσω οὖν
τὸ εἰλημμένον παρὰ τὴν παραστάδα
κεκρυμμένον ὥστε ἀνεῳγμένου τοῦ
πίνακος μὴ ὁρᾶσθαι, ἐναρμῶ οὖν ἐν αὐτῷ V.
σπάρτους λεπτὰς εἰς τὸ κανόνιον τὸ deest in V.
πρὸς τῇ ἀρχῇ τοῦ χάρτου προσκεκολ-
λημένον κάτωθεν παρὰ τὸ παραστάδι-
ον τοῦ πίνακος ἄλλως δὲ ἄνωθεν πα- -ην V.
ρὰ τὸ ὑπερθύριον. καὶ ἀποδίδωμι εἰς
τὸν ἄλλον κανόνα τὸν ἐν τοῖς εὐω-
νύμοις μέρεσιν. οὐκοῦν ἐὰν περιά-
γωμεν τὸν κανόνα ἐπισπάσεται τοὺς τὰς V.
σπάρτους· ἐπειληθήσονται γὰρ αἱ
σπάρτοι ἐζημμέναι εἰς τὴν ἀρχὴν τοῦ ἐξ V.
χάρτου καὶ ἀκολουθήσει ὁ χάρτης κε-
κλεισμένου οὖν τοῦ πίνακος ἕως τοσού-
του ἐπιστρεφέσθω ἕως ἂν ἐπικαλυ- ο V.
φθῇ ὅλον τὸ ἔδαφος τῷ χάρτῃ, ἔσται
δὲ οὕτως ἀέρα καὶ θάλασσαν ἔχων -ον
γεγραμμένα ἵνα οὖν αὐτομάτως πα-
ραγένηται ὁ χάρτης καὶ τῆς λείας βά-
ρεως ἐπισπωμένης ταχεῖα παραγω-
γὴ γίνεται πρὸς τὸ πολὺ πλῆθος τῶν -νη V.
πλειῶν παραπλεῦσαι δεῖ προμηχα- οι V.
νήσασθαι ταῦτα ἔσω κατὰ τὸ ὄπισθεν κάτω V.
μέρος φαινόμενος ὁ πίναξ ὁ αβ γδ
τὸ ὑπεράνω V. καὶ τοῦ κανόνος περὶ ὃν εἰλεῖται ὁ
χάρτης τοῦ ὑπὲρ ἄνω μέρους, ἐξελί-
κτραν τετορνευμένην, τὴν ζη, καὶ πρὸς
τὸν πίνακα κατὰ ἐπάνω τῶν ὑποληνίων
καὶ τῶν ἀστερίσκων τῶν τὰ χερίακι- +
νούντων ἀποσπάσας μικρὸν περιτί-
θημι τύμπανον τὸ θη, ἐχέτω δὲ τὸ καὶ V.
τύμπανον κατὰ κοιλὸν μέρος κύκλῳ ον V.
τετορνευμένον τρόχιλον καὶ περὶ τὸν
ἄξονα τοῦ τυμπάνου, ἄλλως περιτι- ον V.

θημι ἄξονα μικρὸν προσαρμόσας τῷ
ἄξονι τὸν μὲν ὅπως συμφυῆ ὡς ἅμα
στραφήσεται μείζονι τυμπάνῳ, περι-
ειλήσας δὲ σπάρτον περὶ τὴν ηζ ἑλί-
κην ὅση μέλλει ἐξελίσσειν τὸν χάρ- ἐξ ἐξελίκτραν ν.
την ὃν ἀποδίδωμι περὶ ἕτερον τροχίλον
τῷ πρώτῳ τυμπάνῳ τὸν μ περιειλῶ τὴν
εἰς τὴν λείαν ἀποδεδομένην σπάρτον, ἔ-
ν̄. ν. στω δὲ ἡ ν̄ δῆλον οὖν ὅτι μικρὸν τῆς
σπάρτου ἐκχυθείσης ὑπὸ τῆς λείας πο-
-ει ν. λυμέρου τοῦ χάρτου καὶ ταχὺ ἐπειληθή-
σεται ἄξων δὲ ἐν ᾧ ἔχει τὸ τύμπανον
νξ ν. τὸ νξ χρὴ δὲ τοὺς ἀστερίσκους καὶ τὸ
τύμπανον ἀνεμποδίστως κινεῖσθαι.
οὕ- Ὁ μὲν οὖν παράπλους οὕτως γίνεται οἱ δὲ
τω ν. δελφῖνες ὅτε μὲν καταδύσονται ὅτε δὲ
φανήσονται κατὰ τὸν ὑπογεγραμμένον ὅτε ν.
τρόπον ἐκ τῆς κάτω πλευρᾶς τοῦ πλιν-
-νης ν. θίου τῆς πρὸς τὸ θωράκιον ἡρμοσμένην
μικρὸν ἀπὸ τῶν στροφέων ἀπολιπὼν
στενὰς ν. ἐποίησεν ἐκκοπὰς στενὰς ὥσπερ γομ-
φωτηρίων, ὥστε διαφαίνειν εἰς τὸ θω-
ράκιον κάτω καταλαβὼν σανίδα ἔγρα-
ι. -ι- ν ψα τὰ δελφινάρια ἡλίκα βούλομαι
καὶ περιέτεμον καὶ περιερρίνισα τὴν ἐκτὸς
γραμμήν, ἔσω δὲ ἀξόνιον ὑπὸ τὰ στέρ-
† δὲ ν να τοῦ δελφιναρίου, ἔσω † εἰς τὴν ἐκκο-
πὴν ὀχούμενον ἐξ ἑνὸς μέρους τροχίλος
καθάπερ τὸ ὑπογεγραμμένον. ἡ δὲ ἐκ-
κοπὴ ἡ ἐκ τῆς πλευρᾶς ἡ αβ. ἄξων
δὲ ὁ γδ τροχίλος δὲ ὁ εζ τρυπῶ οὖν
τὸν ἄξονα κατὰ τὴν ἐκκοπὴν τὸ θ καὶ
ἐνέπηξα τὴν περόνην τοῦ δελφιναρίου
οὐκοῦν ἐάν τις περιάγῃ τὸν τροχίλον τῇ
ὅτε ν. χειρὶ ὅτε μὲν καταδύσεται ὁ δελφινί-
σκος κάτω διὰ τῆς ἐκκοπῆς εἰς τὸ
θωράκιον ὅτε δὲ ἀναδύσεται ἐν τῷ πί-
νακι ἵνα οὖν αὐτόματον γένηται σπάρ-
-σας ν. τον ἀπαγκυλώσαν περιτίθημι περὶ τὸν

τύλον τὸν ἐνόντα ἐν τῷ τροχίλῳ τὸν ζ̄ καὶ περιελίξας τὸν τρόχιλον ἀποδίδωμι εἰς τὴν λεῖαν ὁ δὲ δελφινίσκος οὕτως ἐμπεπηγὼς ἔσται εἰς τὸν ἄξονα ὡς ἐφ᾽ οὗ ὁ π̄ πρὸς ὀρθὰς ὢν τῷ ἄξονι, ὁ δὲ ϛ̄δ ἄξων πρὸς ὀρθὰς τῷ θωρακίῳ:—

πέρας οὖν ἔχοντος τοῦ παράπλου κλεισθήσονται πάλιν αἱ θύραι καὶ ἡ σπάρτος ἑλκυσθεῖσα ἐκπάσει τὸ περόνιον καὶ καταρρίψει τὸ ὀθόνιον ἐν ᾧ ἔσται ὁ ναύπλιος γεγραμμένος ὁ τὸν πυρσὸν ἠρκὼς καὶ ἡ ἀθηνᾶ καὶ ἀνοιχθέντος τοῦ πίνακος αἱ μὲν νῆες οὐ φαίνονται τὰ δὲ προειρημένα, δεήσει δὲ καὶ τὸν πυρσὸν εὐθὺς ἀνακαίεσθαι ποιήσομεν οὖν καὶ τὰ κατὰ τὸν πυρσὸν οὕτως, ἔσται ἡμῖν ἐπὶ τοῦ ἐπιστύλου καὶ τῶν τριγλύφων σανὶς ἐπισκηνοῦσα δι᾽ ὅλου τοῦ πίνακος ἥτις ἐπικαλύψει τήν τε ἐξελίκτραν τὴν τὸν παράπλουν ἄγουσαν καὶ τὴν τοῦ πυρὸς πραγματείαν καὶ τὴν τῆς μηχανῆς ἔπαρσιν, ἵνα μηδὲν τῶν προειρημένων εἰς τὸν κατὰ πρόσθεν μέρος τοῦ πίνακος φαίνηται, ὅπως δὲ μὴ ἀλόγως ἡ σανὶς ἐπὶ μὴ κειμένη ἀετὸς προστίθεται αὐτῇ καθάπερ δὴ ναΐσκοις τὰ δὲ ἀπολειπόμενα ἑκατέρωθεν πτερύγια τῆς σανίδος ἐπιφύεται μέλανι ἢ ἀέρι τίθεται δὲ ἐχομένη τῆς ἐξελίκτρας ἡ μηχανή τῆς δὲ μηχανῆς ἐκ τοῦ ἄλλου μέρους ἡ τοῦ πυρσοῦ γίνεται κατασκευὴ τοιαύτη οὖσα ἐκ λεπίδων χαλκῶν δεῖ ποιῆσαι καθάπερ κιβωτάριον πῶμα μὴ ἔχον, ἀλλὰ ἀχανές τοῦτο δ᾽ δεῖ στῆσαι ὀρθὸν ὀπίσω τῆς σανίδος τῆς ἐπικαλυπτούσης καὶ καθηλῶσαι πρὸς τὴν πλευρὰν τοῦ πλινθίου, ἐχέτω δὲ τὸ μὲν ἔδαφος τὸ κιβωτάριον πρὸς τῇ

deest in Ven.

ἐκσπάσει V.

deest in V.

ἐπάρασιν V.

τὸ V.

μήκει V.

ἐχομένη

σανίδι τὸ δὲ χάσμα ἔξω βλέπον τῆς σανίδος ἐκ δὲ τῆς ἄνω πλευρᾶς τοῦ κιβωτοῦ ἐκκεκόφθω ὀπὴ διαφαίνουσα ὥσπερ θυρίς, ὥστε ὅταν λύχνος καιόμενος τεθῇ εἰς τὸ κιβωτάριον τὸ τῆς φλογὸς αὐτοῦ διήκειν ἄκρον εἰς τὸ ἄνω μέρος τοῦ κιβωταρίου διὰ τῆς ὀπῆς τούτου δὲ ὑπάρχοντος ὁ λύχνος ὑποκείσθω καιόμενος ἄλλῳ δὲ λεπιδίῳ χαλκῷ τριγώνῳ καταπωματίζομεν τὴν ὀπὴν ὥστε ἀποκεκλεῖσθαι τὴν φλόγα ἐπάνω δὲ τοῦ κιβωταρίου καὶ τῆς πεπωματισμένης λεπίδος ἐπιτίθημι ξύσματα τεκτονικὰ ξηρότατα οὐκοῦν ὅταν ἀποσπάσω τὸ λεπίδιον τὸ πεπωμακὸς τὴν ὀπὴν ἡ φλὸξ τοῦ λύχνου ἅψεται τῶν ξυσμάτων καὶ εὐθὺς ἀνακαυθήσεται πρὶν δὲ τὰ ξύσματα καυθῆναι οὐ βλέπεται ἡ τοῦ λύχνου φλὸξ· κεκρυμμένη ἐν τῷ κιβωταρίῳ καὶ γὰρ ξύλινον ἐπιστριον ἔχει ἐὰν βουλώμεθα τελείως πάντοθεν πωμάσαντες ἀόρατον ποιῆσαι τὴν φλόγα, ἵνα δὲ ἀσφαλῶς μένῃ ὁ λύχνος ἐν τῷ κιβωταρίῳ περόνιον ἔξω ὑπερέχον ἐκ τοῦ κάτω μέρους, ὁ δὲ λύχνος ἔξω τῶν εἰς τὰς λαμπτῆρας ἐμβαλλομένων καὶ περιτιθεμένων περὶ περόνην ἵνα οὖν περὶ τὸν καθήκοντα καιρὸν αὐτόματον ἀνοιχθῇ τὸ λεπίδιον παρατίθημι ἀξόνιον ἀπέχον ἀπὸ τοῦ πυρὸς ἐκ δὲ τῆς λεπίδος ἁλυσείδιον ἐνάψας ἐξέδησα εἰς τὸ ἀξόνιον. ὅπως ὅταν ἐπιστραφῇ τὸ ἀξόνιον περιειληθῇ τὸ ἁλυσείδιον καὶ ἐπισπάσηται τὸ λεπίδιον, ἐπιστρέψει δὲ ὁμοίως τὸ ἀξόνιον σπάρτος ἐκ τῆς λείας περὶ τύλον, ἔξω δὲ ὁ λεπίδιον

ξύσματα ν.

μ. ν.

κιβωταρίου

-ματίζο-

ἐπίουρον

τὸ ᾱ ἀλυσείδιον δὲ περὶ τοὺς τύλους τὸ β̄ ἄξων δὲ τὸ γ̄ τύλος δὲ τὸ δ̄ σπάρτος δὲ ἡ περὶ τὸν τύλον τὸ ε̄ φανέντων δὲ τῶν προειρημένων καὶ τοῦ πυρὸς ἀνακαυθέντος κλεισθήσεται πάλιν ὁ πίναξ καὶ ἐκσπασθῇ ἡ σπάρτος τὴν περόνην ῥίψει τὸ ὀθόνιον. ἐν ᾧ ἔσται καταγεγραμμένη ἡ ναυαγία τῶν νηῶν καὶ τὸ τοῦ αἴαντος ζώδιον νηχόμενον ἐν δὲ τῷ πίνακι φανήσεται ἡ ἀθηνᾶ, ἔσται δὲ ἡ βάσις αὐτῆς ἔχουσα ἐν τοῖς προσήκουσι τόποις τύλους, καὶ μία μὲν σπάρτος ἐγερεῖ αὐτὴν ἐπισπασαμένη ἐκ τοῦ ὄπισθεν μέρους τοῦ ἰσχαρίου κατὰ τὸ σήκωμα αὐτῆς ἀποσπασθείσης δὲ ταύτης, ἄλλη περικειμένη περὶ τὸ θωράκιον περιάξει αὐτὴν ἕως ἄνω ἔλθῃ ἐπὶ τὸν αὐτὸν τόπον ὅθεν ἐξῆλθεν ἀποσχασθείσης δὲ ταύτης ἄλλη σπάρτος ἐπισπάσεται ἐκ τοῦ ὄπισθεν μέρους τοῦ ἰσχαρίου καὶ οὕτω κατακλεινεῖ τὴν ἀθηνᾶν. λοιπὸν δέ ἐστι ἡμῖν διηγήσασθαι τίνι τρόπῳ ὅτε κεραυνὸς ἐν τῷ πίνακι πείσεται καὶ τὸ αἴαντος ζώδιον ἀφανισθήσεται, γίνεται οὖν καὶ ταῦτα καθάπερ μέλλομεν ἐξηγεῖσθαι κατὰ μέρος ὅπου ἔφος τοῦ πίνακος ἔσται γεγραμμένον τὸ ζώδιον κατ' αὐτὸν δὲ ἔξω ἐκκοπὴ ἐν τῇ ἄνω πλευρᾷ τοῦ πλινθίου πεποιημένη καὶ ἐν τῇ κάτω καθάπερ καὶ ἐπὶ τῶν δελφίνων ἐδηλώσαμεν κατατείνονται οὖν ἐκ τῆς ἄνωθεν πλευρᾶς τῆς ἐκκοπῆς χορδαὶ δύο λεπτόταται τῶν εἰς τὰς ἀμβύκας ἐμβαλλομένων ἕως κάτω εἰς τὸ ῥάκιον διὰ τῆς ἄνω οὔσης ἐκκοπῆς, ἵνα δὲ ἐν τῷ ναΐσκῳ ὦσι τεταγμένη, καθάπτονται εἰς κολλάβους ᾱ ἐκ τοῦ ἄνωθεν μέρους, ἵνα ἐπιστρεφομένων τῶν κολλάβων τὴν στάσιν ἔχωσιν, ἐγερθὲν δὲ

πεσεῖται v.
καὶ τὸ τοῦ αἴαντος v.
ὅπου τὸ ἔδαφος v.
θωράκιον v.

ἂν v.
λυ- v.
fors. ἔδαφος
-γαι v.

σανίδιον

σανίδιον λεπτὸν καὶ ὑπομῆκες ὥστε χω- ὑπόμηκες V
ρεῖν αὐτὸ διὰ τῶν ἐκκοπῶν εὐκόπως καὶ αὐτῶν V.
σταθὲν ἐκ τοῦ ὑπερθύρου μὴ ὑπερέχειν
τὸν V. αὐτὸ τὸ ὑπέρθυρον εἰς τὴν πίνακα τρυπη-
θὲν δὲ δυσὶ τρυπήμασι κατὰ μῆκος περι-
λαμβάνει τὰς χορδὰς ἐπιούροις, προσκολ-
λᾶται δὲ καὶ ὄπισθεν τοῦ σανιδίου τὸ μολυ-
βίδιον λεπτὸν ὅπως βάρος ἴσχῃ ἐὰν οὖν
ἄγωμεν τῇ χειρὶ τὸ σανίδιον ἄνω διὰ
τῆς ἐκκοπῆς ἀποπέσῃ διὰ τοῦ πίνακος
ὧν V. φερόμενον ὀρθὸν ὡς ἄνω περὶ τὰς χορδὰς
περικείμενον, αἱ μὲν οὖν χορδαὶ μέλα-
νι μολύβονται, ἵνα μὴ δῆλαι ὦσιν τὸ μολύνονται V.
δὲ ὑπὸ σανίδιον ἐκ μὲν τοῦ κάτω μέρους
χρυσοῦται καὶ λειοῦται ὡς μάλιστα. ἐκ δὲ
τοῦ ἄνωθεν ὑπογράφεται ἡ πυροειδὲς
deest in V. δὲ ὡς τὴν τοῦ κεραυνοῦ φαντασίαν ποι-
εῖν φέρεται δὲ τοῦτω ὅταν ἀφεθῇ κα- φέρε δὲ τοῦτο V.
με τὰ μέσον τὸ ζώδιον ὡς τεταγμέναι εἰσὶν
αἱ χορδαὶ τοῦτο δὲ ἄνω βλέπει περο-
νίῳ κρατούμενον καθάπερ καὶ τὰ ὀθόνια
ὅπως ὅταν καθικὸν ᾖ ἡ σπάρτος ἐπι- καθῆκον V.
σπωμένη τὸ περόνιον ῥύψει τὸν κεραυνὸν ῥίψῃ V.
πεσόντος V. τὸ ζώδιον πεσόντος τοῦ κεραυνοῦ ἀφα-
νίζεται οὕτως. ἔστιν ἕτερον ὀθόνιον πεποι-
ημένον καθάπερ καὶ τὰ ἄλλα τὰ ἐπικα-
λύπτοντα μικρὸν δὲ ὡς αὐτὸ τὸ ζώδιον ἐ-
τούτῳ V. πικαλύψεται τὸ ὀθόνιον, ἐν δὲ τοῦ γέ-
γραπται θάλασσα ὁμοία τῇ περιεχούσῃ τὸ
ζώδιον, καὶ τὰ κύματα, καὶ εἴ τι ἄλλο φαι-
νόμενόν ἐστι τῶν ἀγγεῖον προσαπονενεύ- ἀγγεῖον προσ-
μηται, ὅπως ἐπικαλυφθέντος τοῦ ζωδίου απονενέμηται V.
τὸ ὅμοιον καὶ ἐκ τῶν ὄπισθεν δὲ τὸ ὀθό-
νιον ὁμοίως θαλασσοειδεῖ χρώματι πρὸς προσαπ— V
ἀποκεχρῶσθαι, ἵνα δὲ ἐπικαλυπτόμενον
μηδαμόθεν φανῇ τὸ ὀθόνιον, ἔστιν ἄνω
συνεσταμμένον καὶ κρατεῖται ὑπὸ τῆς
μιᾶς περόνης ὑφ᾽ ἧς καὶ ὁ κεραυνός

κρατεῖται, ὥστε ἑλκυσθείσης αὐτῆς ἅ-
μα τε τὸν κεραυνὸν ἐνεχθῆναι ἐπὶ τὸ
ζώδιον καὶ καλυφθῆναι αὐτὸ ὑπὸ ὀθονί- ^τοῦ V.
ου ὥστε δοκεῖν πληγὲν αὐτὸ ὑπὸ τοῦ
κεραυνοῦ ἠφανίσθαι τὰ μὲν οὖν κα-
τὰ τὸν πίνακα οὕτως οἰκονομεῖται ὁ-
μοίως δὲ καὶ ὁ ἐν τοῖς ζωδίοις καὶ αἱ τῆς deest in V.
πορείας κινήσεις διὰ τοιούτων ὀργάνων
πᾶσαι γίνονται οἵ τε πίνακες πάντες ὁ-
μοίως διὰ τούτων οἰκονομοῦνται πλὴν ὅτι οἰκο-
διαλλάσσονται
deest in V. νομίᾳ V.

λείπει

In frontispicio hujus volum. Scaliger
seqq. adnotarat
αρχιμήδους τὰ ὀχούμενα. 6 (pag in ms.
hic pag. 13, v.4.

pag. 33. v. 1. στηρίζεσθαι, λείσθαι, ὥστε μη-
δὲν παρεμπίπτειν, μεταξύ.

ἀποδεδέσθαι dicuntur capita catenarum
pendentia, quibus aptum est onus aliquod
vii [illegible] citra. Principium funis di-
citur ἐνδεδέσθαι, finis ἀποδεδέσθαι.

pag. 43, 9. σπονδεῖον. θησαυρός. [Sed ibi legi-
tur σπονδεῖον.

pag. fors. 49. τύμπανον ut Vitruvio cap. ult.
Lib. 3.

lus ordinans humum iu



bes producere reptantis



Qui mag-
na rerum

et fere genus. corpora
d ictu iubentis uiui
da ut seruiant per or
dinem subdens dedisti

hel puerum suum sicut lo



cutus est ad abraham



et semini eius et exalta



uit humiles usque in

minū clamaui Euouae.
ui: voce mea ad do
minū deprecatus sum.
Effundo in conspcu
eius orationē meam:
et tribulationē meā
ante ipm pnūcio.
In deficiendo ex me
spm meū: et tu cog

tati sunt super me.
Educ de custodia aī
mam meā ad confitē
dum nomini tuo: me
expectant iusti donec re
tribuas michi Gloria Dñe exaudi o.m. aurib9 pcipe



Portio mea domine sit